of-the toward them goodwill both and peace to-make
ἐσβαλεῖν ἐς τούτων δὴ τῶν βαρβάρων τὴν γῆν
to-invade into of-these indeed the barbarians the land
ἔγνωσαν, δηλώσαντες τοῦτο πρότερον Πέρσαις.
decided having-made-known this beforehand to-Persians
ἀπροσδόκητοί τε αὐτοὶ ἐπιπεσόντες σχεδόν τι 5.13
unexpected both they having-fallen-upon nearly somewhat
ἅπαντας ἡβηδὸν ἔκτειναν. ὅ τε Πακούριος τοῖς
all from-youth-up killed — and Pacurius at-the-things
πεπραγμένοις ὑπερησθείς, πέμψας παρὰ τὸν Ἀρσάκην τῶν
done overjoyed having-sent to — Arsaces of-those
οἱ ἐπιτηδείων τινὰς τά τε πιστά οἱ παρασχόμενος
to-him intimate some the and pledges to-him having-offered
τὸν ἄνθρωπον μετεπέμψατο.
the man summoned
καὶ ἐπεὶ παρ᾽ αὐτὸν Ἀρσάκης ἀφίκετο, τῆς τε ἄλλης 5.14
and when to him Arsaces came the both other
αὐτὸν φιλοφροσύνης ἠξίωσε καὶ ἅτε ἀδελφὸν ἐπὶ τῇ
him kindness he-deemed-worthy and as brother on the
ἴσῃ καὶ ὁμοίᾳ ἔσχε.
equal and like held

5.15 καὶ τότε μὲν ὅρκοις δεινοτάτοις τόν τε Ἀρσάκην
and then indeed with-oaths most-terrible — both Arsaces
καταλαβὼν καὶ αὐτὸς οὐδέν τι ἧσσον ὀμωμοκὼς ἢ
having-bound and himself nothing at-all less having-sworn truly
μὴν εὔνους τε καὶ ξυμμάχους Πέρσας τε τὸ λοιπὸν
indeed well-disposed both and allies Persians both the further
καὶ Ἀρμενίους ἀλλήλοις εἶναι, αὐτίκα δὴ αὐτὸν ἐς τὰ
and Armenians to-one-another to-be at-once indeed him to the
πάτρια ἤθη ἀφῆκεν ἰέναι.
ancestral haunts released to-go

5.16 Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον διέβαλον τὸν Ἀρσάκην τινὲς
in-time and not much later slandered — Arsaces some
ὡς δὴ πράγμασι νεωτέροις ἐγχειρεῖν βούλοιτο. οἷσπερ
as indeed to-affairs new to-set-hand he-wished by-whom-indeed
ἀναπεισθεὶς ὁ Πακούριος αὖθις αὐτὸν μετεπέμπετο,
persuaded — Pacurius again him summoned
ὑπειπὼν ὅτι δὴ αὐτῷ τι κοινολογεῖσθαι ὑπὲρ τῶν
having-hinted that indeed with-him something to-confer about the
ὅλων ἐπιμελὲς εἴη.
whole important it-was

5.17 καὶ ὃς οὐδέν τι μελλήσας ἐς αὐτὸν ἦλθεν, ἄλλους
and he not at-all having-delayed to him came others
τε τῶν ἐν Ἀρμενίοις μαχιμωτάτων ἐπαγόμενος καὶ
both of-those among Armenians most-warlike bringing-along and
Βασσίκιον, ὅσπερ αὐτῷ στρατηγός τε καὶ ξύμβουλος
Bassicius who-indeed to-him general both and counselor
ἦν· ἀνδρίας τε γὰρ καὶ ξυνέσεως ἐπὶ πλεῖστον ἀφῖκτο.
was of-courage both for and of-understanding to most he-had-come

5.18 εὐθὺς οὖν ὁ Πακούριος ἄμφω, τόν τε Ἀρσάκην καὶ
at-once then — Pacurius both — both Arsaces and
Βασσίκιον, πολλὰ ὀνειδίζων ἐκάκιζεν, εἰ τὰ ὀμωμοσμένα
Bassicius much reproaching reviled if the-things sworn

ἠλογηκότε οὕτω δὴ τάχιστα ἐς ἀπόστασιν ἴδοιεν.
having-disregarded thus indeed quickest to revolt they-had-looked
οἱ δὲ ἀπηρνοῦντό τε καὶ ἀπώμνυον ἐνδελεχέστατα
they and denied both and swore-off most-persistently
μηδὲν σφίσιν αὐτοῖς βεβουλεῦσθαι τοιοῦτο.
nothing by-them selves to-have-been-planned such
τὰ μὲν οὖν πρῶτα ὁ Πακούριος αὐτοὺς ἐν ἀτιμίᾳ 5.19
the indeed then first — Pacurius them in dishonor
ἐφύλασσεν, ἔπειτα δὲ τῶν μάγων ἀνεπυνθάνετο ὅ τί
kept then and of-the magi inquired what —
οἱ ποιητέα ἐς αὐτοὺς εἴη.
to-him to-be-done toward them it-was
οἱ δὲ μάγοι τῶν μὲν ἀρνουμένων καὶ οὐ διαρρήδην 5.20
the and magi of-those indeed denying and not expressly
ἐληλεγμένων καταγινώσκειν οὐδαμῇ ἐδικαίουν, ὑποθήκην
convicted to-condemn in-any-way thought-it-right counsel
δὲ αὐτῷ τινα ἔφραζον, ὅπως ἂν Ἀρσάκης αὐτὸς ἄντικρυς
and to-him some declared so-that — Arsaces himself openly
αὑτοῦ κατηγορεῖν ἀναγκάζοιτο.
himself to-accuse should-be-compelled
τὸ γὰρ τῆς βασιλικῆς σκηνῆς ἔδαφος κόπρῳ καλύπτειν 5.21
the for of-the royal tent floor with-dung to-cover
ἐκέλευον, ἥμισυ μὲν ἐκ τῆς Περσῶν χώρας, θάτερον
they-bade half indeed from the of-Persians land the-other
δὲ ἥμισυ ἐκ τῆς Ἀρμενίας. καὶ ὁ βασιλεὺς κατὰ
and half from — Armenia and the king according-to
ταῦτα ἐποίει.
these-things did
τότε δὴ οἱ μάγοι τὴν σκηνὴν ὅλην μαγείαις τισὶ 5.22
then indeed the magi the tent whole with-sorceries certain
καταλαβόντες ἐκέλευον τὸν βασιλέα ξὺν τῷ Ἀρσάκῃ
having-bound bade the king with — Arsaces

τοὺς περιπάτους ἐνταῦθα ποιεῖσθαι, ἐπικαλοῦντα τοῖς τε
the walks there to-make charging-him the both
ξυγκειμένοις καὶ ὀμωμοσμένοις λυμήνασθαι.
agreements and oaths to-have-outraged

5.23 δεῖν δὲ καὶ αὐτοὺς τῷ διαλόγῳ παραγενέσθαι. οὕτω
to-be-needful and also themselves the dialogue to-be-present-at thus
γὰρ ἂν τῶν λόγων μάρτυρες ἁπάντων εἶεν. αὐτίκα
for — of-the words witnesses all they-would-be at-once
γοῦν ὁ Πακούριος τὸν Ἀρσάκην μεταπεμψάμενος
at-any-rate — Pacurius — Arsaces having-summoned
διαύλους ἐν τῇ σκηνῇ ξὺν αὐτῷ ἐποιεῖτο, παρόντων σφίσιν
turns in the tent with him made being-present to-them
ἐνταῦθα τῶν μάγων, καὶ ἀνεπυνθάνετο τοῦ ἀνθρώπου ὅτου
there the magi and inquired of-the man for-what
δὴ ἕνεκα τὰ ὀμωμοσμένα ἠλογηκὼς εἶτα Πέρσας τε
indeed sake the-things sworn having-disregarded then Persians both
καὶ Ἀρμενίους αὖθις τρίβειν ἀνηκέστοις κακοῖς ἐγχειροίη·
and Armenians again to-wear-down with-incurable evils he-was-attempting

5.24 ὁ δὲ Ἀρσάκης, ἕως μὲν ἐν τῷ χώρῳ οἱ λόγοι ἐγίνοντο
— and Arsaces while indeed in the place the words were-taking-place
οὗ δὴ ὁ χοῦς ἐκ γῆς τῆς Περσίδος ἐπέκειτο,
where indeed the soil from land — Persian lay
ἀπηρνεῖτό τε καὶ ὅρκοις τοῖς δεινοτάτοις πιστούμενος
denied both and with-oaths the most-terrible confirming
ἀνδράποδον ἰσχυρίζετο εἶναι Πακουρίου πιστόν·
slave insisted to-be of-Pacurius faithful

5.25 ἐπειδὴ δὲ μεταξὺ λέγων ἐς τῆς σκηνῆς τὸ μέσον ἀφῖκτο,
when and meanwhile speaking into of-the tent the middle he-came
ἵνα δὴ κόπρου τῆς Ἀρμενίας ἐπέβησαν, ἐνταῦθα οὐκ
where indeed on-dung — of-Armenia they-stepped there not
οἶδα ὅτῳ ἀναγκασθεὶς λόγους μὲν τούτους ἐπὶ τὸ
I-know by-what compelled words indeed these to the

θρασύτερον ἐξαπιναίως μεταβιβάζει, ἀπειλῶν δὲ τῷ
bolder suddenly changes threatening and —
τε Πακουρίῳ καὶ Πέρσαις οὐκέτι ἀνίει, ἀλλὰ τίσασθαι
both to-Pacurius and Persians no-longer ceased but to-punish
αὐτοὺς ἐπηγγέλλετο ὕβρεως τῆσδε, ἐπειδὰν αὐτὸς αὑτοῦ
them promised for-insolence this when himself of-himself
τάχιστα κύριος γένοιτο.
quickest master should-become
καὶ ταῦτα λέγων τε καὶ νεανιευόμενος ἐποιεῖτο τὸν 5.26
and these-things saying both and swaggering made the
περίπατον ὅλον, ἕως ἀναστρέψας ἐς κόπρον αὖθις τὴν
walk whole until having-turned-back into dung again the
ἐκ γῆς τῆς Περσίδος ἀφίκετο. ἐνταῦθα γὰρ πάλιν ὥσπερ
from land — Persian he-came there for again as-if
τινὰ παλινῳδίαν ᾄδων ἱκέτης τε ἦν καὶ οἰκτρούς
some recantation singing suppliant both he-was and pitiable
τινας τῷ Πακουρίῳ προὔφερε λόγους.
some — to-Pacurius offered words
ἐπεὶ δὲ ἐς χοῦν αὖθις τὸν Ἀρμενίων ἦλθεν, ἐς τὰς 5.27
when and into soil again the of-Armenians he-came to the
ἀπειλὰς ἀπεχώρησε. καὶ πολλάκις οὕτω μεταβληθεὶς ἐφ᾽
threats he-went-back and often thus changed to
ἑκάτερα ἔκρυψε τῶν οἱ ἀπορρήτων οὐδέν.
either-side he-hid of-the to-him secrets nothing
τότε δὴ οἱ μὲν μάγοι κατέγνωσαν αὐτοῦ ἔς τε 5.28
then indeed the indeed magi convicted him toward both
τὰς σπονδὰς καὶ τοὺς ὅρκους ἠδικηκέναι. Πακούριος
the treaty and the oaths to-have-done-wrong Pacurius
δὲ Βασσικίου μὲν τὸ δέρμα ἐκδείρας ἀσκόν τε αὐτὸ
and of-Bassicius indeed the skin having-flayed bag both it

πεποιημένος καὶ ἀχύρων ἐμπλησάμενος ὅλον ἀπεκρέμασεν
having-made and with-chaff having-filled whole hung
ἐπὶ δένδρου τινὸς ὑψηλοῦ λίαν.
on tree some high very

5.29 τὸν μέντοι Ἀρσάκην (ἀποκτεῖναι γὰρ ἄνδρα τοῦ βασιλείου
— *however Arsaces to-kill for man of-the royal*
αἵματος ὄντα οὐδαμῇ εἶχεν) ἐν τῷ τῆς Λήθης φρουρίῳ
blood being in-no-way he-could in the — of-Oblivion fortress
καθεῖρξε.
shut-up

5.30 Χρόνῳ δὲ ὕστερον τῶν τις Ἀρμενίων τῷ τε Ἀρσάκῃ
in-time and later of-the some Armenians — both to-Arsaces
ἐν τοῖς μάλιστα ἐπιτηδείων καί οἱ ἐπισπομένων ἐς
in the most intimate and him having-accompanied into
τὰ Περσῶν ἤθη ἰόντι, Πέρσαις ἐπί τι ἔθνος ἰοῦσι
the of-Persians haunts going with-Persians against some nation going
βαρβαρικὸν ξυνεστράτευσεν· ὃς δὴ ἀνήρ τε ἀγαθὸς ἐν
barbarian campaigned who indeed man both good in
τῷ πόνῳ τούτῳ, ὁρῶντος Πακουρίου τὰ ποιούμενα,
the toil this seeing Pacurius the-things being-done
γέγονε καὶ τῆς νίκης αἰτιώτατος Πέρσαις.
became and of-the victory most-responsible for-Persians

5.31 διὸ δὴ αὐτὸν ὁ Πακούριος ὅ τι ἂν βούλοιτο
wherefore indeed him — Pacurius what — — he-should-wish
αἰτεῖσθαι ἠξίου, ἰσχυρισάμενος ὅτι δὴ οὐδενὸς πρὸς
to-ask bade having-insisted that indeed of-nothing from
αὐτοῦ ἀτυχήσει.
him he-will-fail

5.32 ὁ δὲ ἄλλο οἱ οὐδὲν γενέσθαι ἠξίου ἢ ὥστε τὸν
he and other to-him nothing to-happen asked than that —
Ἀρσάκην ἐν ἡμέρᾳ μιᾷ θεραπεῦσαι ᾗ βούλοιτο.
Arsaces in day one to-tend as he-should-wish

τοῦτο τὸν βασιλέα ἠνίασε μὲν ἐς τὰ μάλιστα, εἰ λύειν νόμον 5.33
this the king grieved indeed to the most if to-break law
οὕτω δὴ παλαιὸν ἀναγκάζοιτο, ὅπως μέντοι παντάπασιν
thus indeed old he-was-compelled so-that however altogether
ἀληθίζηται, ξυνεχώρει τὴν δέησιν ἐπιτελῆ γενέσθαι.
he-might-be-truthful he-granted the request fulfilled to-be
ἐπεὶ δὲ βασιλέως ἐπαγγείλαντος γέγονεν ἐν τῷ τῆς 5.34
when and king having-ordered he-came in the —
Λήθης φρουρίῳ, ἠσπάσατο μὲν τὸν Ἀρσάκην, ἄμφω δὲ
of-Oblivion fortress he-greeted indeed — Arsaces both and
ἀλλήλοιν περιβαλόντε ἐθρηνησάτην τε ἡδύν τινα θρῆνον
each-other having-embraced lamented both sweet some lament
καὶ ἀπολοφυραμένω τὴν παροῦσαν τύχην μόλις ἀπ᾽
and having-bewailed the present fortune with-difficulty from
ἀλλήλοιν διαλύειν τὰς αὑτοῦ χεῖρας ἑκάτερος ἔσχεν.
each-other to-loose the his-own hands each could
ἐπεὶ δὲ τῶν ὀδυρμῶν ἐς κόρον ἐλθόντες ἐπαύσαντο, 5.35
when and of-the wailings to satiety having-come they-ceased
ἔλουσε μὲν ὁ Ἀρμένιος τὸν Ἀρσάκην καὶ τἄλλα οὐκ
washed indeed the Armenian — Arsaces and the-rest not
ἀπημελημένως ἐκόσμησε, σχῆμα δὲ αὐτῷ περιθέμενος
carelessly adorned dress and on-him having-put
τὸ βασίλειον ἐπὶ στιβάδος ἀνέκλινεν.
the royal on couch reclined-him
ἐνταῦθά τε τοὺς παρόντας Ἀρσάκης βασιλικῶς εἱστία 5.36
there and the present Arsaces royally feasted
ᾗπερ εἰώθει τὰ πρότερα.
as-indeed he-was-accustomed the former-times
ἐν ταύτῃ τῇ θοίνῃ πολλοὶ μὲν ἐπὶ κύλικι λόγοι ἐλέχθησαν 5.37
in this the feast many indeed over cup words were-spoken
οἵπερ τὸν Ἀρσάκην ἱκανῶς ἤρεσκον, πολλὰ δὲ ἄλλα
which-indeed — Arsaces sufficiently pleased many and other-things

ἐς μέσον ἦλθεν ἅπερ αὐτῷ ἐν ἡδονῇ ἦν· μηκυνομένου
into middle came which-indeed to-him in pleasure were being-prolonged
τε τοῦ πότου ἄχρι ἐς νύκτα τῇ πρὸς ἀλλήλους ὁμιλίᾳ
and the drinking up to night in-the toward one-another converse
ὑπερφυῶς ἥσθησαν, μόλις δὲ ἀλλήλων ἀπαλλαγέντες
extraordinarily they-delighted with-difficulty and from-one-another having-parted
διελύθησαν, καταβεβρεγμένοι τῇ εὐπαθείᾳ.
they-separated drenched with-the good-cheer

5.38 τότε δὴ λέγουσι τὸν Ἀρσάκην εἰπεῖν ὡς ἡμέραν
then indeed they-say — Arsaces to-have-said that day
τὴν ἡδίστην διατελέσας ἐν ταύτῃ τε ξυγγενόμενος τῷ
the sweetest having-spent in this and having-been-with the
ποθεινοτάτῳ ἀνθρώπων ἁπάντων, οὐκ ἂν ἔτι ἑκών
most-longed-for of-men all not — any-more willingly
γε εἶναι ὑποσταίη τὰ φλαῦρα τοῦ βίου,
at-least to-be he-would-endure the paltry-things of-the life

5.39 καὶ ταῦτα εἰπόντα μαχαίρᾳ ἑαυτὸν διαχειρίσασθαι
and these-things having-said with-knife himself to-have-made-away-with
ἥνπερ ἐν τῇ θοίνῃ ἐξεπίτηδες κεκλοφὼς ἔτυχεν, οὕτω
which-indeed at the feast on-purpose having-stolen he-happened thus
τε αὐτὸν ἐξ ἀνθρώπων ἀφανισθῆναι.
and him from men to-have-vanished

5.40 τὰ μὲν οὖν κατὰ τοῦτον δὴ τὸν Ἀρσάκην ἡ
the-things indeed then about this indeed — Arsaces the
τῶν Ἀρμενίων συγγραφὴ λέγει ταύτῃ, ἥπερ ἐρρήθη,
of-the Armenians history says thus as-indeed it-has-been-told
κεχωρηκέναι, καὶ τὸν νόμον τότε ἀμφὶ τῷ τῆς Λήθης
to-have-gone and the law then about the — of-Oblivion
φρουρίῳ λελύσθαι. ἐμοὶ δὲ ὅθενπερ ἐξέβην ἰτέον.
fortress to-have-been-loosed for-me and whence-indeed I-digressed I-must-go

Cavades escapes the prison in his wife's clothes, wins an army from the Ephthalites, and blinds Blases. Denied a loan by Anastasius, he invades Armenia and besieges Amida in winter. The holy man James, who lives shut up a day's journey from Amida, stops the Ephthalite archers and is granted the lives of those who flee to him. The defenders hold the ram off with beams and bring down Cavades' mound by a tunnel; harlots mock him from the wall; the magi read it as a sign, and a Persian finds an old tunnel by a tower of sleeping monks. The city falls on the eighteenth day, and an old priest stops the slaughter.

Καθειρχθέντα δὲ τὸν Καβάδην ἐθεράπευεν ἡ γυνὴ 6.1
shut-up and — Cavades tended the wife
ἐσιοῦσά τε παρ' αὐτὸν καὶ τὰ ἐπιτήδεια ἐσκομίζουσα·
going-in both to him and the necessaries bringing-in
ἣν δὴ ὁ τῆς εἱρκτῆς ἄρχων πειρᾶν ἤρξατο· ἦν
whom indeed the of-the prison commander to-try began she-was
γὰρ τὴν ὄψιν ἐς τὰ μάλιστα εὐπρεπής.
for the appearance to the most comely
ὅπερ ἐπεὶ ὁ Καβάδης παρὰ τῆς γυναικὸς ἔμαθεν, 6.2
which-indeed when — Cavades from the wife learned
ἐκέλευσεν ἐνδιδόναι αὑτὴν τῷ ἀνθρώπῳ ὅ τι βούλοιτο
he-bade to-give herself to-the man what — he-should-wish
χρῆσθαι. οὕτω δὴ τῇ γυναικὶ ἐς εὐνὴν ξυνελθὼν ὁ
to-use thus indeed with-the wife into bed having-come the
τοῦ φρουρίου ἄρχων ἠράσθη τε αὐτῆς ἔρωτα ἐξαίσιον
of-the fortress commander fell-in-love and with-her with-love extraordinary
οἷον, καὶ ἀπ' αὐτοῦ ξυνεχώρει παρὰ τὸν ἄνδρα τὰς
such and from it he-allowed to the husband the
εἰσόδους ποιεῖσθαι, ὅπη ἂν αὐτῇ βουλομένῃ εἴη, καὶ
visits to-make as — to-her wishing it-might-be and
αὖθις ἐνθένδε ἀπαλλάσσεσθαι, οὐδενὸς ἐμποδὼν ἱσταμένου.
again from-there to-depart no-one in-the-way standing

6.3 ἦν δέ τις τῶν ἐν Πέρσαις λογίμων Σεόσης
there-was and someone of-those among Persians notable Seoses
ὄνομα, Καβάδῃ ἐς τὰ μάλιστα φίλος,
by-name to-Cavades to the most friend
6.4 ὃς ἀμφὶ τὸ φρούριον τοῦτο διατριβὴν εἶχε, καιροφυλακῶν
who about the fortress this tarrying had watching-his-moment
εἴ πως αὐτὸν ἔνδοθεν ἐξελέσθαι δυνήσεται.
if somehow him from-within to-take-out he-will-be-able
6.5 διά τε τῆς γυναικὸς τῷ Καβάδῃ ἐσήμαινεν ὡς ἵπποι τέ
through both the wife — to-Cavades he-signified that horses both
οἱ καὶ ἄνδρες ἐν παρασκευῇ τυγχάνουσιν ὄντες τοῦ
for-him and men in readiness happen being from-the
φρουρίου οὐ μακρὰν ἄποθεν, δηλώσας τι χωρίον αὐτῷ.
fortress not far off having-pointed-out some place to-him
6.6 καί ποτε νυκτὸς ἐπιλαβούσης ἀνέπεισε τὴν γυναῖκα
and once night having-come-on persuaded the wife
Καβάδης ἐσθῆτα μὲν αὐτῷ τὴν οἰκείαν δοῦναι, τὰ δὲ
Cavades clothing indeed to-him the own to-give the and
αὐτοῦ ἀμπεχομένην ἱμάτια ἐπὶ τῆς εἱρκτῆς ἀντ᾽ αὐτοῦ
his-own wearing garments in the prison instead-of him
καθῆσθαι, οὗπερ ἐκεῖνος ἐκάθητο.
to-sit where-indeed he was-sitting
6.7 οὕτω μὲν οὖν Καβάδης ἀπηλλάσσετο ἐκ τοῦ
thus indeed then Cavades departed from the
δεσμωτηρίου. κατιδόντες δὲ αὐτὸν οἷς ἡ φυλακὴ
prison having-seen and him those-on-whom the guard
αὕτη ἐπέκειτο τὴν γυναῖκα ὑπετόπαζον εἶναι· ταῦτά τοι
this lay the wife suspected to-be therefore surely
οὔτε κωλύειν οὔτε ἄλλως αὐτὸν ἐνοχλεῖν ἔγνωσαν.
neither to-hinder nor otherwise him to-trouble they-decided

ἅμα τε ἡμέρᾳ τὴν γυναῖκα ἐς τὸ δωμάτιον ἐν τοῖς 6.8
at-the-same-time and with-day the wife in the chamber in the
τοῦ ἀνδρὸς ἱματίοις ἰδόντες καὶ μακρὰν ἀπολελειμμένοι
of-the husband garments having-seen and far left-behind
τοῦ ἀληθοῦς ᾠοντο Καβάδην ἐνταῦθα εἶναι. ἥ τε
from-the truth thought Cavades there to-be the and
δόκησις αὕτη ἐν ἡμέραις συχναῖς ἤκμαζεν, ἕως Καβάδης
supposition this for days many flourished until Cavades
πόρρω που τῆς ὁδοῦ ἐγεγόνει.
far somewhere on-the road had-got
τὰ μὲν οὖν ἀμφὶ τῇ γυναικὶ ξυνενεχθέντα, ἐπεὶ ἐς 6.9
the-things indeed then about the wife having-befallen when into
φῶς ἡ ἐπιβουλὴ ἦλθε, καὶ ὅντινα αὐτὴν τρόπον ἐκόλασαν,
light the plot came and in-what her manner they-punished
ἐς τὸ ἀκριβὲς οὐκ ἔχω εἰπεῖν. οὐ γὰρ ὁμολογοῦσι Πέρσαι
to the exact not I-can to-say not for agree Persians
ἀλλήλοις· διὸ δὴ αὐτὰ λέγειν ἀφίημι.
with-one-another wherefore indeed them to-tell I-let-go
Καβάδης δὲ λαθὼν ἅπαντας ξὺν τῷ Σεόσῃ ἐς 6.10
Cavades and having-escaped-notice-of all with — Seoses to
Οὔννους τοὺς Ἐφθαλίτας ἀφίκετο καὶ αὐτῷ τὴν παῖδα
Huns the Ephthalites came and to-him the daughter
γυναῖκα ὁ βασιλεὺς γαμετὴν δίδωσιν, οὕτω τε στράτευμα
as-wife the king wedded gives thus and army
λόγου πολλοῦ ἄξιον ἅτε κηδεστῇ ἐπὶ Πέρσας ξυνέπεμψε.
of-word much worthy as to-son-in-law against Persians sent-with
τούτῳ τῷ στρατῷ Πέρσαι ὑπαντιάζειν οὐδαμῇ ἤθελον, 6.11
this the army Persians to-meet in-no-way wished
ἀλλὰ ἄλλος ἄλλῃ ἐς φυγὴν ὥρμηντο.
but one another-way to flight rushed

6.12 ἐπεὶ δὲ ὁ Καβάδης ἐν τῇ χώρᾳ ἐγένετο, ἔνθα ὁ
when and — Cavades in the land came where —
Γουσαναστάδης τὴν ἀρχὴν εἶχεν, εἶπε τῶν ἐπιτηδείων
Gusanastades the command had he-said to-the intimates
τισὶν ὡς χαναράγγην καταστήσεται ἄνδρα ἐκεῖνον, ὃς
some that chanaranges he-will-appoint man that who
ἂν αὐτῷ Περσῶν πρῶτος ἐκείνῃ τῇ ἡμέρᾳ ἐς ὄψιν
— to-him of-Persians first that the day into sight
ἥκων ὑπουργεῖν βούλοιτο.
coming to-serve should-wish

6.13 εἰπόντι τέ οἱ μετέμελεν ἤδη τοῦ λόγου, ἐπεὶ νόμος
having-said and to-him it-repented already of-the word since law
αὐτὸν ἐσῄει, ὃς δὴ οὐκ ἐᾷ Πέρσαις ἐς τοὺς
him came-into-mind which indeed not allows for-Persians to the
ἀλλοτρίους τὰς ἀρχὰς φέρεσθαι, ἀλλ᾽ οἷς ἡ τιμὴ
outsiders the offices to-be-carried but to-whom the honor
ἑκάστη κατὰ γένος προσήκει.
each by birth belongs

6.14 ἔδεισε γὰρ μή τις ἵκοιτο ἐς αὐτὸν πρῶτος τῷ
he-feared for lest someone should-come to him first to-the
χαναράγγῃ οὐ ξυγγενὴς ὤν, τόν τε νόμον ἀναγκάζηται
chanaranges not kinsman being the and law he-be-compelled
λύειν, ὅπως αὐτὸς ἀληθίζηται.
to-break so-that he-himself should-be-truthful

6.15 ταῦτα δέ οἱ ἐν νῷ ἔχοντι ξυνέβη τις τύχη ὥστε μὴ
these-things and to-him in mind having it-befell some chance so-that not
τὸν νόμον ἀτιμάζοντι ἀληθεῖ εἶναι. ἔτυχε γὰρ πρῶτος
the law dishonoring truthful to-be it-happened for first
Ἀδεργουδουνβάδης ἐς αὐτὸν ἥκων, νεανίας ἀνήρ, ξυγγενής
Adergudunbades to him coming young man kinsman

τε ὢν τῷ Γουσαναστάδῃ καὶ διαφερόντως ἀγαθὸς τὰ
both being — to-Gusanastades and especially good in-the
πολέμια.
warlike-things
ὃς δὴ δεσπότην τε προσεῖπε Καβάδην καὶ βασιλέα 6.16
who indeed master both addressed Cavades and king
προσεκύνησε πρῶτος, ἐδεῖτό τέ οἱ ἅτε δούλῳ ὅ τι
did-obeisance-to first begged and him as slave what —
βούλοιτο χρῆσθαι.
he-should-wish to-use
Καβάδης οὖν ἐν τοῖς βασιλείοις οὐδενὶ πόνῳ γενόμενος, 6.17
Cavades then in the palace with-no toil having-come
ἔρημόν τε Βλάσην τῶν ἀμυνομένων λαβὼν ἐξετύφλωσε,
bereft both Blases of-the defenders having-caught blinded
τρόπῳ δὴ ὅτῳ τυφλοὺς οἱ Πέρσαι ποιεῖν τοὺς
in-manner indeed in-which blind the Persians to-make the
κακούργους εἰώθασιν, ἔλαιον ἕψοντες καὶ αὐτὸ ὡς
criminals are-accustomed oil boiling and it as
μάλιστα ζέον ἐς τοὺς ὀφθαλμοὺς οὔτι μύοντας
most seething into the eyes not-at-all closed
ἐπιχέοντες, ἢ περόνην τινὰ σιδηρᾶν πυρακτοῦντες ταύτῃ
pouring-on or pin some of-iron heating-red with-this
τε τῶν ὀφθαλμῶν τὰ ἐντὸς χρίοντες, καὶ τὸ λοιπὸν
and of-the eyes the inner-parts anointing and the rest
ἐν φυλακῇ εἶχεν ἄρξαντα Περσῶν ἐνιαυτοὺς δύο.
in custody he-held having-ruled of-Persians years two
καὶ τὸν μὲν Γουσαναστάδην κτείνας τὸν Ἀδεργουδουνβάδην 6.18
and — indeed Gusanastades having-killed — Adergudunbades
ἀντ᾽ αὐτοῦ κατεστήσατο ἐπὶ τῆς τοῦ χαναράγγου
instead-of him he-appointed over the of-the chanaranges
ἀρχῆς, τὸν δὲ Σεόσην ἀδρασταδάραν σαλάνην εὐθὺς
office — and Seoses adrastadaran salanes at-once

ἀνεῖπε. δύναται δὲ τοῦτο τὸν ἐπὶ ἀρχαῖς τε ὁμοῦ καὶ
proclaimed means and this the-one over offices both together and
στρατιώταις ἅπασιν ἐφεστῶτα.
soldiers all set

6.19 ταύτην ὁ Σεόσης τὴν ἀρχὴν πρῶτός τε καὶ μόνος
this — Seoses the office first both and alone
ἐν Πέρσαις ἔσχεν· οὔτε γὰρ πρότερον οὔτε ὕστερόν
among Persians held neither for before nor after
τινι γέγονε· τήν τε βασιλείαν ὁ Καβάδης ἐκρατύνατο
to-anyone it-has-come the both kingship — Cavades strengthened
καὶ ξὺν τῷ ἀσφαλεῖ διεφύλαξεν. ἦν γὰρ ἀγχίνους τε
and with the safety guarded he-was for shrewd both
καὶ δραστήριος οὐδενὸς ἧσσον.
and active than-no-one less

7.1 Ὀλίγῳ δὲ ὕστερον χρήματα Καβάδης τῷ Ἐφθαλιτῶν
a-little and later money Cavades to-the of-Ephthalites
βασιλεῖ ὤφειλεν, ἅπερ ἐπεὶ ἀποτινύναι οἱ οὐχ οἷός
king owed which-indeed when to-pay to-him not able
τε ἦν, Ἀναστάσιον τὸν Ῥωμαίων αὐτοκράτορα ᾔτει
— he-was Anastasius the of-Romans autocrat he-asked
ταῦτά οἱ δανεῖσαι τὰ χρήματα· ὁ δὲ κοινολογησάμενος
these-things to-him to-lend the money he and having-consulted
τῶν ἐπιτηδείων τισὶν ἐπυνθάνετο εἴ γέ οἱ ταῦτα
of-the intimates some inquired whether at-least to-him these-things
ποιητέα εἴη.
to-be-done were

7.2 οἵπερ αὐτὸν τὸ συμβόλαιον ποιεῖσθαι οὐκ εἴων.
who-indeed him the contract to-make not permitted
ἀξύμφορον γὰρ ἀπέφαινον εἶναι βεβαιοτέραν τοῖς
unprofitable for they-declared to-be more-secure for-the
πολεμίοις χρήμασιν οἰκείοις ἐς τοὺς Ἐφθαλίτας τὴν
enemies with-money own toward the Ephthalites the

φιλίαν ποιήσασθαι, οὓς δὴ ἐς ἀλλήλους ξυγκρούειν
friendship to-make whom indeed against one-another to-set-at-odds
ὅτι μάλιστα σφίσιν ἄμεινον εἶναι.
as most for-them better to-be
διὸ δὴ Καβάδης ἐξ αἰτίας οὐδεμιᾶς ἔγνω ἐπὶ 7.3
wherefore indeed Cavades from cause no decided against
Ῥωμαίους στρατεύεσθαι. καὶ πρῶτα μὲν αὐτάγγελος
Romans to-march and first indeed self-announced
Ἀρμενίων τῇ χώρᾳ ἐπῆλθε, καὶ αὐτῆς τὰ πολλὰ ἐξ
of-Armenians the land invaded and of-it the most by
ἐπιδρομῆς λησάμενος ἐς Ἄμιδαν πόλιν ἐν Μεσοποταμίᾳ
raid having-plundered to Amida city in Mesopotamia
κειμένην ἐκ τοῦ αἰφνιδίου ἀφίκετο, ἧς δὴ χειμῶνος
lying from the sudden arrived of-which indeed of-winter
ὥρᾳ ἐς πολιορκίαν καθίστατο.
in-season to siege be-set
Ἀμιδηνοὶ δὲ στρατιωτῶν μέν, ἅτε ἐν εἰρήνῃ καὶ 7.4
Amidenes and soldiers indeed as in peace and
ἀγαθοῖς πράγμασιν, οὐ παρόντων σφίσι, καὶ ἄλλως δὲ
good affairs not being-present to-them and otherwise too
ἀπαράσκευοι παντάπασιν ὄντες, ὅμως τοῖς πολεμίοις
unprepared altogether being nevertheless to-the enemies
ὡς ἥκιστα προσχωρεῖν ἤθελον, ἀλλὰ τοῖς τε κινδύνοις
as least to-go-over wished but the both dangers
καὶ τῇ ταλαιπωρίᾳ παρὰ δόξαν ἀντεῖχον.
and the hardship beyond expectation withstood
Ἦν δέ τις ἐν Σύροις ἀνὴρ δίκαιος, Ἰάκωβος ὄνομα, 7.5
there-was and some among Syrians man righteous James by-name
ᾧ τὰ ἐς τὸ θεῖον ἐς τὸ ἀκριβὲς ἤσκητο.
to-whom the-things toward the divine to the exact had-been-practiced
οὗτος ἐν χωρίῳ Ἐνδιήλων, διέχοντι Ἀμίδης ἡμέρας ὁδῷ,
this in place of-Endielon distant from-Amida of-a-day by-road

πολλοῖς ἔμπροσθεν χρόνοις αὑτὸν καθεῖρξεν, ὅπως δὴ
many before times himself shut-up so-that indeed
ἀδεέστερον τὰ ἐς τὴν εὐσέβειαν μελετᾶν δύνηται.
more-fearlessly the-things toward the piety to-practice he-might-be-able
7.6 καὶ αὐτοῦ οἱ ταύτῃ ἄνθρωποι ὑπουργοῦντες τῇ γνώμῃ
and of-him the there men serving the purpose
δρυφάκτοις τισὶ περιέβαλον, οὐ ξυνημμένοις μέντοι,
with-railings some surrounded not joined however
ἀλλὰ χωρὶς πεπηγόσιν ἀλλήλων, ὥστε ὁρᾶν τε τοὺς
but apart fixed from-one-another so-that to-see both those
προσιόντας καὶ ξυγγίνεσθαι οἷόν τε εἶναι.
approaching and to-converse possible — to-be
7.7 καὶ στέγος τι αὐτῷ ἐτεκτήναντο βραχὺ ὕπερθεν, ὅσον
and roof some for-him built short above as-much-as
ὄμβρους τε καὶ νιφετοὺς ἀποκρούεσθαι. ἐνταῦθα οὗτος
rains both and snows to-ward-off there this
ἀνὴρ ἐκ παλαιοῦ καθῆστο, πνίγει μὲν ἢ ψύχει ὡς
man from of-old sat to-stifling-heat indeed or to-cold as
ἥκιστα εἴκων, σπέρμασι δέ τισιν ἀποζῶν, οἷσπερ οὐ
least yielding on-seeds and some living which-indeed not
καθ' ἡμέραν, ἀλλὰ χρόνου πολλοῦ σιτίζεσθαι εἰώθει.
by day but of-time long to-be-fed he-was-accustomed
7.8 τοῦτον οὖν τὸν Ἰάκωβον τῶν τινες Ἐφθαλιτῶν
this then — James of-the some Ephthalites
καταθέοντες τὰ ἐκείνῃ χωρία εἶδον, καὶ τὰ τόξα σπουδῇ
overrunning the there places saw and the bows with-haste
πολλῇ ἐντεινάμενοι βάλλειν ἤθελον. πᾶσι δὲ ἀκίνητοι
much having-bent to-shoot wished for-all and motionless
αἱ χεῖρες γεγονυῖαι τὰ τόξα ἐνεργεῖν οὐδαμῇ εἶχον.
the hands having-become the bows to-work in-no-way could

ὅπερ ἐπεὶ ἐν τῷ στρατοπέδῳ περιφερόμενον ἐς 7.9
which-indeed when in the camp being-carried-about to
Καβάδην ἦλθεν, αὐτόπτης γενέσθαι τοῦ ἔργου ὁ Καβάδης
Cavades came eyewitness to-become of-the deed — Cavades
ἐβούλετο, ἰδών τε ἐν θάμβει μεγάλῳ ξὺν Περσῶν
wished having-seen and in amazement great with of-Persians
τοῖς παροῦσιν ἐγίνετο, καὶ τὸν Ἰάκωβον ἐλιπάρει ἀφεῖναι
the present he-was and — James besought to-remit
τοῖς βαρβάροις τὸ ἔγκλημα. ὁ δὲ ἀφῆκέ τε λόγῳ ἑνὶ
to-the barbarians the offense he and remitted both with-word one
καὶ τὰ δεινὰ τοῖς ἀνθρώποις ἐλέλυντο.
and the terrible-things for-the men were-loosed
Καβάδης μὲν οὖν αἰτεῖν τὸν ἄνδρα ἐκέλευεν ὅ τι ἂν 7.10
Cavades indeed then to-ask the man bade what — —
αὐτῷ βουλομένῳ εἴη, χρήματα οἰόμενος αὐτὸν μεγάλα
to-him wishing might-be money thinking him great
αἰτήσειν, καί τι καὶ νεανιευσάμενος, ὡς οὐδενὸς
would-ask and something also having-boasted that of-nothing
πρὸς αὐτοῦ ἀτυχήσει.
from him he-will-fail
ὁ δέ οἱ τοὺς ἀνθρώπους ἐδεῖτο χαρίζεσθαι ὅσοι ἐν 7.11
he and to-him the men begged to-grant as-many-as in
τῷ πολέμῳ τούτῳ καταφεύγοντες παρ᾽ αὐτὸν ἵκωνται.
the war this fleeing to him should-come
ταύτην Καβάδης τὴν δέησιν ἐπιτελῆ ἐποίει καὶ γράμματα
this Cavades the request fulfilled made and writings
ἐδίδου τῆς ἀσφαλείας ἐνέχυρα. πολλοὶ γοῦν πανταχόθεν
gave of-the safety pledges many at-any-rate from-all-sides
ξυρρέοντες ἐνταῦθα ἐσώζοντο· περιβόητος γὰρ ἡ πρᾶξις
flocking there were-saved renowned for the deed
ἐγένετο. ταῦτα μὲν ὧδέ πη ἔσχε.
became these-things indeed thus somehow were

7.12 Καβάδης δὲ Ἄμιδαν πολιορκῶν κριὸν τὴν μηχανὴν
Cavades and Amida besieging ram the engine
πανταχόσε τοῦ περιβόλου προσέβαλε. καὶ Ἀμιδηνοὶ μὲν
everywhere of-the circuit-wall brought-against and Amidenes indeed
τὴν ἐμβολὴν ἀεὶ δοκοῖς τισιν ἐγκαρσίαις ἀνέστελλον, ὁ
the blow always with-beams some crosswise checked he
δὲ οὐκ ἀνῆκεν, ἕως ταύτῃ ἀνάλωτον εἶναι τὸ τεῖχος ἔγνω.
and not ceased until here impregnable to-be the wall he-saw
7.13 πολλάκις γὰρ ἐμβαλὼν καθελεῖν τι τοῦ περιβόλου ἢ
often for having-struck to-bring-down anything of-the circuit-wall or
κατασεῖσαι ἥκιστα ἴσχυσεν, οὕτως ἀσφαλῶς ἡ οἰκοδομία
to-shake least he-was-able so securely the building
τοῖς δειμαμένοις τὸ παλαιὸν εἴργαστο.
by-those having-built-it the old had-been-wrought
7.14 τούτου δὲ Καβάδης ἀποτυχών, λόφον τινὰ χειροποίητον
of-this and Cavades having-failed mound some man-made
ἐπιτείχισμα τῇ πόλει ἐποίει μέτρῳ πολλῷ ὑπεραίροντα
counter-fort to-the city made by-measure much overtopping
τοῦ τείχους τὸ μῆκος, οἵ τε πολιορκούμενοι ἐντὸς
the wall the height those both besieged within
τοῦ περιβόλου ἀρξάμενοι κατώρυχα μέχρι ἐς τὸν λόφον
the circuit-wall having-begun tunnel up to the mound
ἐποίουν, καὶ λάθρα ἐνθένδε τὸν χοῦν ἐκφοροῦντες κενὰ
made and secretly from-there the soil carrying-out empty
ἐπὶ πλεῖστον τὰ ἐντὸς τοῦ λόφου εἰργάσαντο. τὰ
over most the-parts within the mound made the-parts
μέντοι ἐκτὸς ἐφ᾽ οὗπερ ἐγεγόνει σχήματος ἔμενεν,
however outside in which-indeed it-had-been shape remained
οὐδενὶ αἴσθησιν παρεχόμενα τοῦ πρασσομένου.
to-no-one perception offering of-the being-done

πολλοὶ μὲν οὖν Πέρσαι ὥσπερ ἐπ᾽ ἀσφαλοῦς ἀναβαίνοντες 7.15
many indeed then Persians as-if on safe going-up
ἔν τε τῇ ἄκρᾳ ἐγένοντο καὶ βάλλειν ἐνθένδε κατὰ
on both the summit came and to-shoot from-there down
κορυφὴν τοὺς ἐν τῷ περιβόλῳ διενοοῦντο. τοῦ δὲ ὁμίλου
at-head those in the circuit-wall intended of-the and throng
δρόμῳ ἐπιρρέοντος ἐμπεσὼν ὁ λόφος ἐκ τοῦ αἰφνιδίου
at-a-run streaming-on having-fallen-in the mound from the sudden
σχεδόν τι ἅπαντας ἔκτεινε.
nearly somewhat all killed
Καβάδης δὲ τοῖς παροῦσιν ἀπορούμενος τὴν 7.16
Cavades and at-the-things present at-a-loss the
προσεδρείαν διαλύειν ἔγνω, καὶ τῷ στρατοπέδῳ
siege to-break-up decided and to-the army
ἀναχωρεῖν ἐς τὴν ὑστεραίαν ἐπήγγειλε.
to-withdraw on the next-day announced
τότε δὴ οἱ πολιορκούμενοι, ἅτε τοῦ κινδύνου 7.17
then indeed the besieged as of-the danger
ἀφροντιστήσαντες, πολλὰ τοὺς βαρβάρους ξὺν γέλωτι
having-ceased-to-care much the barbarians with laughter
ἀπὸ τοῦ περιβόλου ἐτώθαζον.
from the circuit-wall mocked
καί τινες ἑταῖραι ἀνελκύσασαι κόσμῳ οὐδενὶ τὴν ἐσθῆτα 7.18
and some courtesans having-drawn-up with-decency no the dress
Καβάδῃ ἄγχιστά που ἑστηκότι ἐδείκνυον ὅσα τῶν
to-Cavades nearest somewhere standing showed as-much-as of-the
γυναικῶν γυμνᾶ φανῆναι ἀνδράσιν οὐ θέμις.
women naked to-appear to-men not lawful
ὅπερ κατιδόντες οἱ μάγοι τῷ τε βασιλεῖ ἐς ὄψιν ἦλθον 7.19
which-indeed having-seen the magi to-the both king into sight came
καὶ τὴν ἀναχώρησιν ἐκώλυον, ξυμβαλεῖν ἰσχυριζόμενοι
and the withdrawal prevented to-interpret insisting

τῷ γεγονότι ὡς ἅπαντα Καβάδῃ Ἀμιδηνοὶ τά τε
the having-happened that all to-Cavades Amidenes the both
ἀπόρρητα καὶ κρυπτόμενα οὐκ ἐς μακρὰν δείξουσιν.
secret-things and hidden not after long will-show
οὕτω μὲν τὸ Περσῶν στρατόπεδον αὐτοῦ ἔμεινεν.
thus indeed the of-Persians army there remained
7.20 Ἡμέραις δὲ τῶν τις Περσῶν οὐ πολλαῖς ὕστερον
in-days and of-the some Persians not many later
ἄγχιστα τῶν πύργων τινὸς ἐκβολὴν ὑπονόμου παλαιοῦ
nearest of-the towers some outlet of-tunnel old
εἶδεν οὐ ξὺν τῷ ἀσφαλεῖ κεκαλυμμένην, ἀλλὰ χάλιξι
saw not with the security covered but with-pebbles
σμικραῖς τε καὶ οὐ λίαν συχναῖς.
small both and not very thick
7.21 νύκτωρ τε μόνος ἐνταῦθα ἥκων καὶ τῆς εἰσόδου
by-night and alone there coming and of-the entrance
ἀποπειρασάμενος ἐντὸς τοῦ περιβόλου ἐγένετο. ἅμα
having-made-trial within the circuit-wall he-came at-the-same-time
δὲ ἡμέρᾳ τὸν πάντα λόγον Καβάδῃ ἀπήγγειλε. καὶ
and with-day the whole story to-Cavades reported and
ὃς τῇ ἐπιγινομένῃ νυκτὶ κλίμακας ἐν παρασκευῇ
he on-the following night ladders in readiness
ποιησάμενος ξὺν ὀλίγοις τισὶν ἐνταῦθα ἦλθε. καί τις
having-made with few some there came and some
αὐτῷ δεξιὰ ξυνηνέχθη τύχη τρόπῳ τοιῷδε.
to-him favorable befell fortune in-manner such
7.22 τὸν πύργον, ὃς δὴ τοῦ ὑπονόμου ἀγχοτάτω ἐτύγχανεν
the tower which indeed to-the tunnel nearest happened
ὤν, φυλάσσειν τῶν Χριστιανῶν οἱ σωφρονέστατοι
being to-guard of-the Christians the most-temperate
ἔλαχον, οὕσπερ καλεῖν μοναχοὺς νενομίκασι. τούτους
had-been-allotted whom-indeed to-call monks they-are-accustomed these

ἑορτήν τινα τῷ θεῷ ἄγειν ἐνιαύσιον ἐκείνῃ τῇ ἡμέρᾳ
feast some — to-God to-keep annual on-that the day
τετύχηκεν.
it-happened
ἐπεί τε ἡ νὺξ ἐπεγένετο, ἅπαντες, ἅτε κόπῳ μὲν 7.23
when and the night came-on all as with-toil indeed
πολλῷ διὰ τὴν πανήγυριν ὁμιλήσαντες, μᾶλλον δὲ
much because-of the festival having-been-engaged more and
τοῦ εἰθισμένου σιτίων τε καὶ ποτοῦ ἐς κόρον ἐλθόντες,
than-the customary of-food both and of-drink to satiety having-come
ὕπνον τινὰ ἡδύν τε καὶ πρᾷον ἐκάθευδον καὶ ἀπ᾽ αὐτοῦ
sleep some sweet both and gentle slept and from it
ὡς ἥκιστα τῶν ποιουμένων ἠσθάνοντο.
as least the-things being-done perceived
Πέρσαι γοῦν διὰ τοῦ ὑπονόμου ἐντὸς τοῦ περιβόλου 7.24
Persians at-any-rate through the tunnel within the circuit-wall
κατ᾽ ὀλίγους γενόμενοι ἐς τὸν πύργον ἀνέβαινον, καὶ τοὺς
by few having-come into the tower went-up and the
μοναχοὺς καθεύδοντας ἔτι εὑρόντες ἔκτειναν ἅπαντας.
monks sleeping still having-found killed all
ὅπερ ἐπεὶ Καβάδης ἔγνω, τὰς κλίμακας τῷ τείχει 7.25
which-indeed when Cavades learned the ladders to-the wall
τούτου δὴ ἄγχιστα τοῦ πύργου προσῆγεν.
this indeed nearest the tower he-brought
ἡμέρα δὲ ἦν ἤδη. καὶ τῶν Ἀμιδηνῶν οἳ ἐν πύργῳ τῷ 7.26
day and was already and of-the Amidenes who in tower the
ἐχομένῳ ἐφύλασσον, αἰσθόμενοι τοῦ κακοῦ κατὰ τάχος
adjoining were-guarding having-perceived the evil with speed
ἐβοήθουν ἐνταῦθα.
came-to-help there

7.27 ὠθισμῷ τε πολλῷ ἐπὶ πλεῖστον ἀμφότεροι ἐς ἀλλήλους
with-shoving both much for most both-sides against one-another
ἐχρῶντο καὶ τὸ πλέον ἤδη Ἀμιδηνοὶ ἔχοντες τῶν
were-engaged and the more already Amidenes having of-those
τε ἀναβεβηκότων πολλοὺς ἔκτεινον καὶ τοὺς ἀπὸ τῶν
both having-gone-up many they-killed and those from the
κλιμάκων ἀνέστελλον καὶ τοῦ ἀπεῶσθαι τὸν κίνδυνον
ladders pushed-back and of-the to-have-thrust-away the danger
οὐ μακράν που ἐγένοντο.
not far somewhere they-were

7.28 ἀλλὰ Καβάδης αὐτὸς τὸν ἀκινάκην σπασάμενος καὶ
but Cavades himself the scimitar having-drawn and
αὐτῷ ἀεὶ δεδισσόμενος ἐς τὰς κλίμακας ὁρμῶν οὐκ
with-it always terrifying toward the ladders rushing not
ἀνίει τοὺς Πέρσας, θάνατός τε ἦν ἡ ζημία τοῖς ἐνθένδε
let-go the Persians death and was the penalty for-those from-there
ἀναστρέφειν τολμῶσι.
to-turn-back daring

7.29 διὸ δὴ πλήθει πολλῷ οἱ Πέρσαι καθυπέρτεροι τῶν
wherefore indeed by-number much the Persians superior to-the
ἐναντίων γενόμενοι ἐνίκησάν τε αὐτοὺς τῇ μάχῃ καὶ
opponents having-become conquered both them in-the battle and
κατὰ κράτος ἡ πόλις ἥλω ὀγδοηκοστῇ ἀπὸ τῆς
by force the city was-taken on-the-eightieth from the
πολιορκίας ἡμέρᾳ.
siege day

7.30 φόνος τε Ἀμιδηνῶν πολὺς ἐγεγόνει, ἕως ἐσελαύνοντι ἐς
slaughter and of-Amidenes much had-been until riding-in into
τὴν πόλιν Καβάδῃ τῶν τις Ἀμιδηνῶν γέρων τε καὶ
the city to-Cavades of-the some Amidenes old-man both and

ἱερεὺς προσελθὼν εἶπεν ὡς οὐ βασιλικὸν τὸ φονεύειν
priest having-approached said that not kingly the to-slay
τοὺς ἡλωκότας εἴη.
the captured was
Καβάδης μὲν οὖν θυμῷ ἔτι ἐχόμενος ἀπεκρίνατο "διὰ 7.31
Cavades indeed then by-anger still held answered for
τί γάρ μοι πολεμεῖν ἔγνωτε"; ὁ δὲ ὑπολαβὼν αὐτίκα
what for me to-make-war did-you-decide he and taking-up at-once
ἔφη "ὅτι δὴ ὁ θεὸς οὐχ ἡμετέρᾳ γνώμῃ, ἀλλὰ σῇ
said because indeed — God not by-our will but by-your
ἀρετῇ παραδιδόναι σοι Ἄμιδαν ἤθελε".
valor to-hand-over to-you Amida wished
τούτῳ τῷ λόγῳ Καβάδης ἡσθεὶς κτείνειν οὐδένα τὸ λοιπὸν 7.32
at-this the word Cavades pleased to-kill no-one the further
εἴασεν, ἀλλὰ τά τε χρήματα ληίζεσθαι Πέρσας ἐκέλευε
allowed but the both goods to-plunder Persians he-bade
καὶ τοὺς περιόντας ἐν ἀνδραπόδων ποιεῖσθαι λόγῳ, καὶ
and the survivors in of-slaves to-make account and
αὐτῷ ἐξελέσθαι ἅπαντας αὐτῶν τοὺς δοκίμους ἐπέστελλεν.
for-him to-pick-out all of-them the notable he-ordered
Ὀλίγῳ δὲ ὕστερον χιλίους ἐπὶ τῇ φυλακῇ ἐνταῦθα 7.33
a-little and later thousand for the garrison there
λιπὼν ἄρχοντά τε αὐτοῖς ἐπιστήσας Γλώνην, ἄνδρα
having-left commander and for-them having-set-over Glones man
Πέρσην, καὶ τῶν Ἀμιδηνῶν ἀνθρώπους τινὰς ὀλίγους
Persian and of-the Amidenes men some few
οἰκτρούς, οἳ δὴ ἐς τὴν δίαιταν ὑπηρετήσειν Πέρσαις
wretched who indeed for the living to-serve Persians
ἔμελλον, αὐτὸς παντὶ τῷ ἄλλῳ στρατῷ τοὺς ἡλωκότας
were-about he-himself with-all the other army the captured
ἔχων ἐπ' οἴκου ἀπήλαυνεν.
having toward home rode-away

7.34 ἐς τούτους δὲ τοὺς αἰχμαλώτους φιλανθρωπίᾳ ἐχρήσατο
toward these and the captives humanity he-used
βασιλεῖ πρεπούσῃ· χρόνου γὰρ ὀλίγου εἰς τὰ οἰκεῖα
to-king befitting of-time for little to the homes
ξύμπαντας ἀφῆκεν ἰέναι, τῷ δὲ λόγῳ ἀπέδρασαν
all he-let to-go in-the and word they-ran-away-from
αὐτόν, ὅ τε Ῥωμαίων βασιλεὺς Ἀναστάσιος ἔργα ἐς
him the and of-Romans emperor Anastasius deeds toward
αὐτοὺς ἐπεδείξατο ἀρετῆς ἄξια·
them displayed of-virtue worthy
7.35 φόρους τε γὰρ τοὺς ἐπετείους ἐς ἔτη ἑπτὰ ξύμπαντας
tributes both for the yearly for years seven all
ἀφῆκε τῇ πόλει καὶ αὐτοὺς κοινῇ τε καὶ ἰδίᾳ
he-remitted to-the city and them in-common both and privately
ἕκαστον πολλοῖς τισιν ἀγαθοῖς ἐδωρήσατο, ὥστε αὐτοῖς
each with-many some goods presented so-that for-them
λήθην τῶν ξυμβεβηκότων πολλὴν γενέσθαι. ἀλλὰ
forgetfulness of-the having-happened much to-come-about but
ταῦτα μὲν χρόνῳ τῷ ὑστέρῳ ἐγένετο.
these-things indeed in-time the later happened

Anastasius sends four generals, who never join forces; Cavades routs Areobindus and falls on Patricius and Hypatius at breakfast. Glones, left to hold Amida, is lured out by a peasant and killed; the Romans buy the city back for a thousand pounds of gold. Cavades seizes the Caspian Gates, and Anastasius builds Daras.

Τότε δὲ βασιλεὺς Ἀναστάσιος πολιορκεῖσθαι μαθὼν 8.1
then and emperor Anastasius to-be-besieged having-learned
Ἄμιδαν στράτευμα κατὰ τάχος διαρκὲς ἔπεμψεν. ἄρχοντες
Amida army with speed sufficient sent commanders
δὲ ἦσαν μὲν κατὰ συμμορίαν ἑκάστων, στρατηγοὶ δὲ
and were indeed by division of-each generals and
ἅπασιν ἐφεστήκεσαν τέσσαρες, Ἀρεόβινδός τε, Ὀλυβρίου
over-all were-set four Areobindus both of-Olybrius
κηδεστής, τοῦ ἐν τῇ ἑσπερίᾳ βεβασιλευκότος ὀλίγῳ
son-in-law of-the in the west having-reigned a-little
πρότερον, τῆς ἑῴας δὲ τότε στρατηγὸς ἐτύγχανεν ὤν·
before of-the east and then general happened being
καὶ τῶν ἐν παλατίῳ ταγμάτων ἀρχηγὸς Κέλερ (μάγιστρον 8.2
and of-the in palace regiments leader Celer magister
Ῥωμαῖοι τὴν ἀρχὴν καλεῖν νενομίκασιν)· ἔτι μὴν καὶ
Romans the office to-call are-accustomed further indeed also
οἱ τῶν ἐν Βυζαντίῳ στρατιωτῶν ἄρχοντες, Πατρίκιός
the of-the in Byzantium soldiers commanders Patricius
τε ὁ Φρὺξ καὶ Ὑπάτιος ὁ βασιλέως ἀδελφιδοῦς· οὗτοι
both the Phrygian and Hypatius the of-emperor nephew these
μὲν τέσσαρες στρατηγοὶ ἦσαν.
indeed four generals were

8.3 ξυνῆν δὲ αὐτοῖς καὶ Ἰουστῖνος, ὃς δὴ ὕστερον Ἀναστασίου
was-with and them also Justin who indeed later Anastasius
τελευτήσαντος ἐβασίλευσε, καὶ Πατρικιόλος ξὺν Βιταλιανῷ
having-died reigned and Patriciolus with Vitalian
τῷ παιδί, ὃς ὅπλα ἀντάρας Ἀναστασίῳ βασιλεῖ οὐ πολλῷ
the son who arms having-raised against-Anastasius emperor not much
ὕστερον ἐτυράννησε, καὶ Φαρεσμάνης Κόλχος μὲν γένος,
later made-himself-tyrant and Pharesmanes Colchian indeed by-race
διαφερόντως δὲ ἀγαθὸς τὰ πολέμια, καὶ Γοδίδισκλός τε
especially and good in-the warlike-things and Godidisclus both
καὶ Βέσσας, Γότθοι ἄνδρες, Γότθων τῶν οὐκ ἐπισπομένων
and Bessas Goths men of-Goths of-those not having-followed
Θευδερίχῳ ἐς Ἰταλίαν ἐκ Θρᾴκης ἰόντι, γενναίω τε
Theoderic to Italy from Thrace going noble both
ὑπερφυῶς ἄμφω καὶ τῶν κατὰ τὸν πόλεμον πραγμάτων
extraordinarily both and of-the in the war affairs
ἐμπείρω, ἄλλοι τε πολλοὶ καὶ ἄριστοι εἵποντο.
experienced others both many and best followed

8.4 στράτευμα γὰρ τοιοῦτό φασιν οὔτε πρότερον οὔτε ὕστερον
army for such they-say neither before nor after
ἐπὶ Πέρσας Ῥωμαίοις ξυστῆναι. οὗτοι μέντοι
against Persians for-Romans to-have-been-assembled these however
ἅπαντες οὐκ ἐς ταὐτὸ ἀγηγερμένοι οὐδὲ στράτευμα ἓν
all not into the-same gathered nor army one
ποιησάμενοι ἦεσαν, ἀλλ᾽ αὐτὸς ἕκαστος τοῖς κατ᾽ αὐτὸν
having-made went but himself each the under him
στρατιώταις ἐξηγεῖτο ἐπὶ τοὺς πολεμίους.
soldiers led against the enemies

8.5 χορηγὸς δὲ τῆς τοῦ στρατοπέδου δαπάνης Ἀπίων
provider and of-the of-the army expense Apion
Αἰγύπτιος ἐστάλη, ἀνὴρ ἐν πατρικίοις ἐπιφανής τε καὶ
an-Egyptian was-sent man among patricians distinguished both and

δραστήριος ἐς τὰ μάλιστα, καὶ αὐτὸν βασιλεὺς κοινωνὸν
active to the most and him emperor partner
τῆς βασιλείας ἐν γράμμασιν ἀνεῖπεν, ὅπως οἱ ἐξουσία
of-the empire in writings proclaimed so-that to-him power
εἴη τὰ ἐς τὴν δαπάνην ᾗ βούλοιτο διοικήσασθαι.
might-be the-things for the expense as he-wished to-manage
Ὁ μὲν οὖν στρατὸς οὗτος χρόνῳ τε ξυνελέγοντο καὶ 8.6
the indeed then army this in-time both were-gathered and
σχολαίτεροι ἐπορεύοντο. διὸ δὴ τοὺς βαρβάρους ἐν
more-slowly marched wherefore indeed the barbarians in
γῇ τῇ Ῥωμαίων οὐχ εὗρον, ἐπεὶ ἐξ ἐπιδρομῆς οἱ Πέρσαι
land the of-Romans not they-found since by raid the Persians
τὴν ἔφοδον ποιησάμενοι αὐτίκα δὴ ἐς τὰ πάτρια ἤθη
the attack having-made at-once indeed to the ancestral haunts
ἀνεχώρησαν ξὺν πάσῃ τῇ λείᾳ.
withdrew with all the booty
τῶν δὲ στρατηγῶν οὐδεὶς ἐς πολιορκίαν τῶν ἐν Ἀμίδῃ 8.7
of-the and generals no-one to siege of-those in Amida
ἀπολελειμμένων ἐν τῷ παρόντι καθίστασθαι ἤθελε· πολλὰ
left-behind in the present to-set-about wished many
γὰρ ἐσκομίσασθαι σφᾶς τὰ ἐπιτήδεια ἔμαθον· ἀλλ᾽ ἐς τῶν
for to-have-brought-in them the provisions they-learned but into of-the
πολεμίων τὴν χώραν ἐσβολὴν ποιήσασθαι ἐν σπουδῇ εἶχον.
enemies the land invasion to-make in earnest they-held
οὐ μὴν ἐπὶ τοὺς βαρβάρους κοινῇ ἤεσαν, ἀλλὰ 8.8
not indeed against the barbarians in-common went but
χωρὶς ἀλλήλων στρατοπεδευόμενοι ἐπορεύοντο. ταῦτα
apart from-one-another encamping they-marched these-things
Καβάδης μαθὼν (ἄγχιστα γάρ που ἐτύγχανεν ὤν)
Cavades having-learned nearest for somewhere he-happened being
ἐς τὰ Ῥωμαίων ὅρια κατὰ τάχος ἐλθὼν ὑπηντίαζεν.
to the of-Romans borders with speed having-come went-to-meet-them

8.9 οὔπω μέντοι Ῥωμαῖοι τῷ παντὶ στρατῷ Καβάδην ἰέναι
not-yet however Romans with-the whole army Cavades to-come
ἐπ᾽ αὐτοὺς ἔμαθον, ἀλλὰ Περσῶν ᾤοντο στράτευμα
against them learned but of-Persians thought army
βραχύ τι ἐνταῦθα εἶναι.
small some there to-be

8.10 οἱ μὲν οὖν ἀμφὶ Ἀρεόβινδον ἐστρατοπεδεύσαντο ἐν
those indeed then about Areobindus encamped in
χωρίῳ Ἀρζάμων, ἀπέχοντι Κωνσταντίνης πόλεως δυοῖν
place Arzamon distant from-Constantina city of-two
ἡμέραιν ὁδόν, οἱ δὲ ἀμφὶ Πατρίκιον καὶ Ὑπάτιον ἐν
days road those and about Patricius and Hypatius in
χωρίῳ Σίφριος, ὅπερ Ἀμίδης πόλεως οὐχ ἧσσον ἢ
place Siphrios which from-Amida city not less than
πεντήκοντα καὶ τριακοσίους σταδίους ἀπέχει. Κέλερ γὰρ
fifty and three-hundred stades is-distant Celer for
οὔπω ἐνταῦθα ἀφῖκτο.
not-yet there had-arrived

8.11 Ἀρεόβινδος δὲ ἐπειδὴ Καβάδην παντὶ τῷ στρατῷ
Areobindus and when Cavades with-all the army
ἐπιέναι σφίσιν ἐπύθετο, ἀπολιπὼν τὸ στρατόπεδον
to-be-coming against-them learned having-left the camp
ξὺν τοῖς ἑπομένοις ἅπασιν ἐς φυγὴν ὥρμητο καὶ ἐς
with those following all to flight rushed and to
Κωνσταντίναν δρόμῳ ἐχώρει.
Constantina at-a-run went

8.12 ἐπελθόντες δὲ ὀλίγῳ ὕστερον οἱ πολέμιοι ἔρημον ἀνδρῶν
having-come-on and a-little later the enemies empty of-men
αὐτοῖς χρήμασι τὸ στρατόπεδον εἷλον. ἔνθεν τε κατὰ
with-the-very goods the camp took from-there and with
τάχος ἐπὶ Ῥωμαίων τὸ ἄλλο στράτευμα ἤεσαν.
speed against of-Romans the other army went

οἱ δὲ ἀμφὶ Πατρίκιον καὶ Ὑπάτιον Ἐφθαλίταις 8.13
those and about Patricius and Hypatius Ephthalites
ἐντυχόντες ὀκτακοσίοις, οἳ τοῦ Περσῶν στρατοῦ
having-met eight-hundred who the of-Persians army
ἔμπροσθεν ἦεσαν, σχεδόν τι ἅπαντας ἔκτειναν.
in-front went nearly somewhat all killed
οὐδὲν δὲ ἀμφὶ τῷ Καβάδῃ καὶ τῇ Περσῶν στρατιᾷ 8.14
nothing and about — Cavades and the of-Persians army
πεπυσμένοι, ἅτε νενικηκότες, ἀδεέστερον τῇ διαίτῃ
having-learned as having-conquered more-fearlessly the living
ἐχρῶντο. τὰ γοῦν ὅπλα καταθέμενοι ἄριστον σφίσιν
used the at-any-rate arms having-laid-down breakfast for-themselves
ἡτοίμαζον. ἤδη γὰρ τῆς ἡμέρας ὁ καιρὸς ἐνταῦθα ἦγε.
prepared already for-the day the time there brought
ῥύαξ δέ τις ἔρρει ἐν τούτῳ τῷ χώρῳ, ἵνα Ῥωμαῖοι τὰ 8.15
stream and some flowed in this the place where Romans the
κρέα καθαίρειν ἤρξαντο, οἷς δὴ σιτίζεσθαι ἔμελλον.
meat to-clean began on-which indeed to-be-fed they-were-about
τινὲς δὲ ἀχθόμενοι τῷ πνίγει καὶ λοῦσθαι ἠξίουν. 8.16
some and vexed by-the stifling-heat also to-bathe thought-fit
ταύτῃ τε ταραχθὲν τὸ τοῦ ῥύακος ὕδωρ πρόσω ἐχώρει.
thus and troubled the of-the stream water onward went
Καβάδης δὲ τὰ ἐς τοὺς Ἐφθαλίτας ξυμπεσόντα
Cavades and the-things toward the Ephthalites having-befallen
μαθὼν ἐπὶ τοὺς πολεμίους κατὰ τάχος ἦει.
having-learned against the enemies with speed went
κατιδών τε συγκεχυμένον τὸ τοῦ ῥύακος ὕδωρ καὶ 8.17
having-seen both disturbed the of-the stream water and
ξυμβαλὼν τὸ ποιούμενον ἔγνω ἀπαρασκεύους τοὺς
having-guessed the being-done he-knew unprepared the
ἐναντίους εἶναι, καὶ κατὰ κράτος ἤδη ἐπ᾽ αὐτοὺς
opponents to-be and at full-speed already against them

ἐλαύνειν ἐκέλευεν. αὐτίκα τε αὐτοῖς ἑστιωμένοις τε καὶ
to-ride bade at-once and them feasting both and
ἀνόπλοις οὖσιν ἐπέστησαν.
unarmed being they-came-upon

8.18 Ῥωμαῖοι δὲ οὐκ ἐνεγκόντες τὴν ἔφοδον ἐς ἀλκὴν μὲν
Romans and not having-borne the attack to resistance indeed
τὸ παράπαν οὐκ ἔβλεπον, ἔφευγον δὲ ὡς ἕκαστός πη
the at-all not looked fled and as each somehow
ἐδύνατο, καὶ αὐτῶν οἱ μὲν καταλαμβανόμενοι ἔθνησκον,
could and of-them the-ones indeed being-caught died
οἱ δὲ ἀνιόντες εἰς τὸ ὄρος ὃ ταύτῃ ἀνέχει ἐρρίπτουν
the-others and going-up into the mountain which there rises threw
αὑτοὺς κατὰ τὸ κρημνῶδες ξὺν φόβῳ καὶ θορύβῳ πολλῷ.
themselves down the precipice with fear and confusion much

8.19 ὅθεν δὴ οὐδένα σεσῶσθαί φασι, Πατρίκιος δὲ καὶ
whence indeed no-one to-have-been-saved they-say Patricius but and
Ὑπάτιος κατ᾽ ἀρχὰς τῆς ἐφόδου διαφυγεῖν ἴσχυσαν.
Hypatius at the-beginning of-the attack to-escape were-able
ἔπειτα δὲ Καβάδης, Οὔννων πολεμίων ἐς γῆν τὴν αὐτοῦ
then and Cavades Huns enemies into land the his
ἐσβεβληκότων, παντὶ τῷ στρατῷ ἐπ᾽ οἴκου ἀνεχώρησε,
having-invaded with-all the army to home withdrew
πόλεμόν τε μακρὸν πρὸς τὸ ἔθνος τοῦτο ἐς τῆς χώρας
war and long against the nation this in of-the land
τὰ πρὸς ἄρκτον διέφερεν.
the-parts toward north carried-on

8.20 ἐν τούτῳ δὲ καὶ τὸ ἄλλο στράτευμα Ῥωμαίων ἦλθε,
in this and also the other army of-Romans came
λόγου μέντοι ἄξιον οὐδὲν ἔδρασαν, ὅτι δὴ αὐτοκράτωρ
of-word however worthy nothing they-did because indeed autocrat
τοῦ πολέμου κατέστη οὐδείς, ἀλλ᾽ ἴσοι πρὸς ἀλλήλους οἱ
of-the war was-appointed no-one but equal toward one-another the

στρατηγοὶ ὄντες ἀντεστάτουν τε ἀλλήλων ταῖς γνώμαις
generals being opposed both one-another in-the opinions
καὶ γίνεσθαι ἐν τῷ αὐτῷ οὐδαμῆ ἤθελον.
and to-be in the same in-no-way wished
Κέλερ δὲ ξὺν τοῖς ἑπομένοις Νύμφιον ποταμὸν διαβὰς 8.21
Celer and with those following Nymphius river having-crossed
ἐσβολήν τινα ἐς τὴν Ἀρζανηνὴν ἐποιήσατο.
invasion some into — Arzanene made
ἔστι δὲ ὁ ποταμὸς οὗτος Μαρτυροπόλεως μὲν 8.22
is and the river this to-Martyropolis indeed
ἀγχοτάτω, Ἀμίδης δὲ ὅσον ἀπὸ σταδίων τριακοσίων. οἳ
nearest from-Amida and about from stades three-hundred who
δὴ λησάμενοι τὰ ἐκείνῃ χωρία ἐπανῆλθον οὐ πολλῷ
indeed having-plundered the there places returned not much
ὕστερον. δι᾽ ὀλίγου τε ἡ ἐπιδρομὴ αὕτη ἐγένετο.
later in little and the raid this happened
Μετὰ δὲ Ἀρεόβινδος μὲν ἐς Βυζάντιον ὡς βασιλέα 9.1
afterward and Areobindus indeed to Byzantium to emperor
μετάπεμπτος ἦλθεν, οἱ δὲ λοιποὶ ἐς Ἄμιδαν ἀφικόμενοι
summoned came the and rest to Amida having-arrived
χειμῶνος ὥρᾳ ἐς πολιορκίαν καθίσταντο. καὶ βίᾳ
of-winter in-season to siege set and by-force
μὲν ἑλεῖν τὸ χωρίον, καίπερ πολλὰ ἐγκεχειρηκότες,
indeed to-take the place although many-things having-attempted
οὐκ ἴσχυσαν, λιμῷ δὲ τοῦτο ποιεῖν ἔμελλον· πάντα
not were-able by-famine and this to-do they-were-about all
γὰρ τοὺς πολιορκουμένους τὰ ἐπιτήδεια ἐπιλελοίπει.
for the besieged the provisions had-failed
ἀλλ᾽ οἱ στρατηγοὶ οὐδὲν πεπυσμένοι ἀμφὶ τῶν πολεμίων τῇ 9.2
but the generals nothing having-learned about of-the enemies the
ἀπορίᾳ, ἐπειδὴ τοὺς στρατιώτας τῇ προσεδρείᾳ καὶ τῷ
want since the soldiers by-the siege and by-the

χειμῶνι ἀχθομένους ἑώρων, ἅμα δὲ καὶ Περσῶν
winter vexed they-saw at-the-same-time and also of-Persians
στράτευμα ἐπὶ σφᾶς ἥξειν οὐκ εἰς μακρὰν ὑπετόπαζον,
army against them to-come not after long suspected
τρόπῳ ὅτῳ δὴ ἐνθένδε ἀπαλλάσσεσθαι ἐν σπουδῇ εἶχον.
in-manner whatever indeed from-there to-depart in earnest they-held

9.3 οἵ τε Πέρσαι, οὐκ ἔχοντες τίνες ἂν ἐν τοῖσδε τοῖς
the and Persians not knowing what — in these the
δεινοῖς γένοιντο, τὴν μὲν ἀπορίαν τῶν ἀναγκαίων
terrible-things they-should-become the indeed want of-the necessaries
ἐς τὸ ἀκριβὲς ἔκρυπτον, δόκησιν παρέχοντες ὡς πάντων
to the exact hid appearance offering that of-all
σφίσι τῶν ἐπιτηδείων ἀφθονία εἴη, ἐς δὲ τὰ οἰκεῖα ξὺν
to-them the provisions abundance was to and the homes with
τῷ εὐπρεπεῖ λόγῳ ἀναχωρεῖν ἤθελον.
the seemly word to-withdraw wished

9.4 γίνονται οὖν ἐν ἀμφοτέροις λόγοι, ἐφ' ᾧ δὴ Πέρσαι
come-about then between both-sides words on which indeed Persians
λίτρας χρυσίου χιλίας λαβόντες ἀποδώσουσι Ῥωμαίοις
pounds of-gold thousand having-received will-give-back to-Romans
τὴν πόλιν. ἑκάτεροί τε ἄσμενοι τὰ ξυγκείμενα ἐπιτελῆ
the city each-side and gladly the-things agreed fulfilled
ἐποίουν, τά τε χρήματα λαβὼν ὁ τοῦ Γλώνου
made the and money having-received the — of-Glones
υἱὸς Ἄμιδαν Ῥωμαίοις παρέδωκε. Γλώνης γὰρ ἤδη
son Amida to-Romans handed-over Glones for already
ἐτετελευτήκει τρόπῳ τοιῷδε.
had-died in-manner such

9.5 Οὔπω μὲν στρατοπεδευσαμένων ἐνταῦθα Ῥωμαίων,
not-yet indeed having-encamped there Romans
Ἀμίδης δὲ πόλεως ὄντων οὐ μακρὰν ἄποθεν, τῶν τις
from-Amida and city being not far off of-the some

ἀγροίκων, ὅσπερ εἰώθει ἐς τὴν πόλιν ἐσιὼν λάθρα
countrymen who-indeed was-accustomed into the city going-in secretly
ὄρνις τε καὶ ἄρτους καὶ τῶν ὡραίων πολλὰ τῷ Γλώνῃ
birds both and loaves and of-the fruits many — to-Glones
τούτῳ ἀποδίδοσθαι χρημάτων μεγάλων, Πατρικίῳ τῷ
this to-sell for-money great to-Patricius the
στρατηγῷ ἐς ὄψιν ἐλθὼν Γλώνην οἱ ἐς χεῖρας
general into sight having-come Glones to-him into hands
παραδώσειν ξὺν Πέρσαις διακοσίοις ὑπέσχετο, ἤν τινος
to-hand-over with Persians two-hundred promised if of-some
ἀμοιβῆς ἐλπίδα λαβὼν παρ᾽ αὐτοῦ εἴη.
reward hope having-received from him he-should-be
ὁ δὲ αὐτῷ ἅπαντα ὅσα ἦν βουλομένῳ ὑποσχόμενος 9.6
he and to-him all-things as-many-as were wishing having-promised
ἔσεσθαι τὸν ἄνθρωπον ἀπεπέμψατο. καὶ ὃς τά τε ἱμάτια
to-be the man sent-away and he the both garments
δεινῶς διαρρήξας καὶ δεδακρυμένῳ ἐοικὼς ἐς τὴν πόλιν
terribly having-torn and to-one-in-tears like into the city
εἰσῆλθε.
went-in
παρά τε τὸν Γλώνην ἥκων τάς τε τρίχας τίλλων, 9.7
to both — Glones coming the both hair tearing
“ Ἐτύγχανον μέν, ὦ δέσποτα,” εἶπεν “ἅπαντά σοι ἐκ
I-happened indeed O master he-said all-things to-you from
πρᾶξιν καθιστάμενοι ὅσα ἦν τῷ θεῷ βουλομένῳ
deed setting-about what-things were — to-God wishing
ἐπράσσομεν”.
we-would-do

25.18 ἀκούσασα ταῦτα Εὐφημία προθύμως μὲν ὑπέσχετο
having-heard these-things Euphemia eagerly indeed promised
ἐπιτελῆ ἔσεσθαι, ἀπαλλαγεῖσα δὲ ἐνθένδε τὸ πρᾶγμα ἐπὶ
fulfilled to-be having-departed and from-there the matter to
τὸν πατέρα εὐθὺς ἤνεγκε.
the father at-once she-brought

25.19 καὶ ὃς τῷ λόγῳ ἡσθεὶς (ταύτην γάρ οἱ ὁδὸν
and he at-the word pleased this for to-him road
ἔς τε τὰ μαντεῖα καὶ τὴν βασιλείαν ὑπετόπαζε
to both the prophecies and the kingship he-suspected
φέρειν τὴν πρᾶξιν) εὐθὺς μελλήσει οὐδεμιᾷ ὡμολόγησε,
to-lead the deed at-once with-delay no agreed
πράσσειν τε τὴν παῖδα ἐκέλευεν ὅπως τῇ ὑστεραίᾳ
to-act and the daughter bade so-that on-the next-day
ἐς λόγους τῇ Ἀντωνίνῃ αὐτὸς ξυμμίξῃ καὶ τὰ πιστὰ
into words — with-Antonina he-himself might-meet and the pledges
δοίη.
might-give

μαθοῦσα δὲ Ἀντωνίνα τὴν Ἰωάννου γνώμην καὶ ὡς 25.20
having-learned and Antonina the of-John mind and as
ἀπωτάτω τὸν ἄνθρωπον τῆς τοῦ ἀληθοῦς ἀπαγαγεῖν
farthest the man from-the of-the truth to-lead-away
ἐννοίας ἐθέλουσα νῦν μὲν ἔφη οἱ ξυγγενέσθαι αὐτὸν
thought wishing now indeed she-said to-her to-meet him
ἀξύμφορον εἶναι, μή τις ὑποψία μεταξὺ ἐπιγενομένη
unprofitable to-be lest some suspicion meanwhile arising
διακωλῦσαι τὰ πρασσόμενα ἱκανὴ εἴη· μέλλειν δὲ
to-prevent the being-done able might-be to-be-about and
αὐτίκα δὴ μάλα ἐς τὴν ἕω παρὰ Βελισάριον
at-once indeed very to the east to Belisarius
στέλλεσθαι.
to-be-sent
ἐπειδὰν οὖν ἐκ Βυζαντίου ἀπαλλαγεῖσα ἐν τῷ προαστείῳ 25.21
when then from Byzantium having-departed in the suburb
γένηται (ὃ δὴ Ῥουφινιαναὶ μὲν ὀνομάζεται,
she-should-be which indeed Rufinianae indeed is-named
Βελισαρίου δὲ ἴδιον ἐτύγχανεν ὄν), ἐνταῦθα τὸν Ἰωάννην
of-Belisarius and own happened being there — John
ὡς ἀσπασόμενόν τε καὶ προπέμψοντα ἥκειν, καὶ τούς
as about-to-greet both and about-to-escort to-come and the
τε λόγους περὶ τῶν ὅλων ποιήσασθαι καὶ τὰ πιστὰ
both words about the whole to-make and the pledges
λαβεῖν τε καὶ δοῦναι. ταῦτα εἰποῦσα εὖ τε τῷ
to-take both and to-give these-things having-said well both —
Ἰωάννῃ εἰπεῖν ἔδοξε καὶ ἡμέρα τακτὴ ἐπὶ τῇ πράξει
to-John to-speak she-seemed and day fixed for the deed
διώριστο.
had-been-appointed

25.22 ἥ τε βασιλὶς τὸν πάντα λόγον παρὰ τῆς
the and empress the whole story from —
Ἀντωνίνης ἀκούσασα ἐπῄνει μὲν τὰ βεβουλευμένα,
Antonina having-heard approved indeed the-things planned
ἐγκελευομένη δὲ πολλῷ ἔτι μᾶλλον ἐς τὴν προθυμίαν
urging and much still more to the eagerness
ἐνῆγεν.
led-on

25.23 Ἐπειδή τε ἡ κυρία παρῆν, ἀσπασαμένη μὲν ἡ
when and the appointed-day was-present having-greeted indeed —
Ἀντωνίνα τὴν βασιλίδα ἐκ τῆς πόλεως ἀπηλλάσσετο,
Antonina the empress from the city departed
ἔν τε Ῥουφινιαναῖς ἐγένετο, ὡς τῇ ὑστεραίᾳ
in and Rufinianae she-was as on-the next-day
τῆς ἐπὶ τὴν ἕω ὁδοῦ ἀρξομένη, οὗ δὴ καὶ
of-the to the east road about-to-begin where indeed also
Ἰωάννης τὰ ξυγκείμενα ἐπιτελέσων ἐς νύκτα
John the-things agreed about-to-carry-out into night
ἦλθεν.
came

25.24 ἡ δὲ βασιλὶς διαβάλλουσα πρὸς τὸν αὐτῆς ἄνδρα
the and empress slandering to the her husband
τὰ πρὸς τοῦ Ἰωάννου ἐπὶ τῇ τυραννίδι πρασσόμενα,
the-things by — John for the tyranny being-done
Ναρσῆν τε τὸν εὐνοῦχον καὶ Μάρκελλον τὸν τῶν
Narses both the eunuch and Marcellus the of-the
ἐν παλατίῳ φυλάκων ἄρχοντα ἐς Ῥουφινιανὰς ξὺν
in palace guards commander to Rufinianae with
στρατιώταις πολλοῖς ἔπεμψεν, ἐφ' ᾧ διερευνησάμενοι
soldiers many sent on which having-investigated
τὰ πρασσόμενα, ἢν τὸν Ἰωάννην πράγμασι νεωτέροις
the-things being-done if — John to-affairs new

ἐγχειροῦντα εὑρήσωσι, κτείναντες εὐθὺς τὸν ἄνθρωπον
setting-hand they-find having-killed at-once the man
ἐπανήξουσι.
they-will-return
καὶ οἱ μὲν ἐπὶ τῷ ἔργῳ τούτῳ ἐστέλλοντο. 25.25
and they indeed on the work this were-sent
φασὶ δὲ βασιλέα τῶν ποιουμένων αἰσθόμενον
they-say and emperor the-things being-done having-perceived
τῶν τινα Ἰωάννῃ ἐπιτηδείων παρ᾽ αὐτὸν πέμψαι,
of-the some to-John intimates to him to-send
ἀπεροῦντα αὐτῷ μηδαμῇ τῇ Ἀντωνίνῃ ἐντυχεῖν
about-to-forbid him in-no-way — with-Antonina to-meet
λάθρα.
secretly
Ἰωάννης δὲ (χρῆν γὰρ αὐτῷ γενέσθαι κακῶς) 25.26
John and it-was-needful for for-him to-fare badly
τὴν βασιλέως ὑποθήκην ἐν ἀλογίᾳ πεποιημένος,
the of-emperor advice in disregard having-made
ἀμφὶ νύκτα μέσην τῇ Ἀντωνίνῃ ξυνέμιξεν,
about night middle — with-Antonina met
αἱμασιᾶς πού τινος ἄγχιστα, ἧς δὴ
of-wall-of-loose-stones somewhere some nearest which indeed
ὄπισθεν καθίσασα ἐτύγχανε τοὺς ἀμφὶ Ναρσῆν
behind having-seated she-happened those about Narses
τε καὶ Μάρκελλον, ὅπως τῶν λεγομένων
both and Marcellus so-that the-things said
ἀκούσειαν.
they-might-hear
ἐνταῦθα Ἰωάννης μὲν ἀφυλάκτῳ στόματι τὰ ἐς 25.27
there John indeed with-unguarded mouth the-things for
τὴν ἐπίθεσιν ὡμολόγει τε καὶ ὅρκοις δεινοτάτοις
the attack agreed both and with-oaths most-terrible

ἀπισχυρίζετο, Ναρσῆς δὲ αὐτῷ καὶ Μάρκελλος ἐκ τοῦ
affirmed Narses and on-him and Marcellus from the
αἰφνιδίου ἐπέστησαν.
sudden came

25.28 θορύβου δέ, ὡς τὸ εἰκός, γενομένου οἱ τοῦ Ἰωάννου
of-uproar and as the likely having-arisen the — of-John
δορυφόροι (ἄγχιστα γάρ πη ἑστήκεσαν) παρ' αὐτὸν
guards nearest for somewhere were-standing to him
αὐτίκα ἐγένοντο.
at-once came

25.29 καὶ αὐτῶν τις Μάρκελλον, οὐκ εἰδὼς ὅστις ποτὲ
and of-them someone Marcellus not knowing who ever
ἦν, ξίφει ἔπληξεν, οὕτω τε Ἰωάννης διαφυγεῖν
he-was with-sword struck thus and John to-escape
ξὺν αὐτοῖς ἴσχυσεν, ἔς τε τὴν πόλιν κατὰ τάχος
with them was-able into and the city with speed
ἀφίκετο.
arrived

25.30 καὶ εἰ μὲν εὐθὺς ἐλθεῖν παρὰ βασιλέα ἐθάρσησεν,
and if indeed at-once to-go to emperor he-had-dared
οἶμαι ἄν, οὐδὲν ἐπεπόνθει πρὸς αὐτοῦ ἄχαρι·
I-think — nothing he-would-have-suffered from him unpleasant
νῦν δὲ καταφυγὼν ἐς τὸ ἱερὸν δέδωκε τῇ
now and having-fled into the sanctuary he-has-given to-the
βασιλίδι κατ' ἐξουσίαν τῇ ἐς αὐτὸν ἐπιβουλῇ
empress at power for-the against him plot
χρῆσθαι.
to-use

25.31 Τότε μὲν οὖν ἐξ ἐπάρχων ἰδιώτης γενόμενος
then indeed then from prefects private having-become
ἐς ἕτερον ἐνθένδε ἀναστὰς ἐκομίσθη, ὅπερ
into other from-there having-removed he-was-taken which-indeed

ἐν τῷ προαστείῳ Κυζίκου πόλεως ἵδρυται,
in the suburb of-Cyzicus city is-situated
Ἀρτάκην καλοῦσι Κυζικηνοὶ τὸ προάστειον. ἐνταῦθα
Artace call Cyzicenes the suburb there
ἱερέως οὔ τι ἑκούσιος περιβέβληται σχῆμα, οὐκ
of-priest not at-all willing has-put-on dress not
ἐπισκόπου μέντοι, ἀλλ᾽ ὅνπερ καλεῖν πρεσβύτερον
of-bishop however but which-indeed to-call presbyter
νενομίκασιν.
they-are-accustomed
ὁ δὲ ἱερουργεῖν ἥκιστα ἤθελεν, ὡς μή ποτε 25.32
he and to-officiate least wished so-that not ever
αὐτῷ ἐμπόδιον εἴη ἐς τὰς ἀρχὰς αὖθις ἰέναι·
to-him hindrance it-might-be into the offices again to-go
τῶν γὰρ ἐλπίδων μεθίεσθαι οὐδαμῆ ἤθελε. τὰ
the for hopes to-let-go in-no-way he-wished the
δὲ χρήματα ἐς τὸ δημόσιον ἀνάγραπτα εὐθὺς
and money to the treasury confiscated at-once
γέγονεν.
became
ὧν δὴ αὐτῷ μοῖραν βασιλεὺς πολλὴν ἠφίει· 25.33
of-which indeed to-him portion emperor great remitted
ἔτι γὰρ τῇ ἐς αὐτὸν φειδοῖ εἴχετο. ἐνταῦθα 25.34
still for by-the toward him sparing he-was-held there
παρῆν τῷ Ἰωάννῃ ἀφροντιστήσαντι μὲν κινδύνων
it-was-possible — for-John having-ceased-to-care-for indeed dangers
ἁπάντων, χρήματα δὲ περιβεβλημένῳ μεγάλα, ὅσα
all money and having-gained great what-things
τε αὐτὸς ἐτύγχανε κρύψας καὶ ὅσα βασιλέως
both he-himself happened having-hidden and what-things of-emperor
γνώμῃ παρ᾽ αὐτῷ ἔμεινε, τρυφᾶν τε κατ᾽ ἐξουσίαν
by-will with him remained to-live-luxuriously both at power

καὶ τὰ παρόντα ἡγεῖσθαι λογισμῷ σώφρονι εὐδαίμονα
and the present to-consider by-reasoning sober happy
εἶναι.
to-be

25.35 διὸ δὴ καὶ πάντες Ῥωμαῖοι ἐπὶ τῷ ἀνθρώπῳ
wherefore indeed also all Romans at the man
ἀτεχνῶς ἤχθοντο, ὅτι δὴ πονηρότατος γεγονὼς
simply were-vexed that indeed most-wicked having-become
δαιμόνων ἁπάντων, βίον παρὰ τὴν ἀξίαν εὐδαιμονέστερον
of-demons all life beyond the deserts more-happy
ἢ πρότερον ἔχοι.
than before he-had

25.36 ἀλλ᾽ ὁ θεός, οἶμαι, οὐκ ἤνεγκεν ἐς τοῦτο
but — God I-think not bore to this
τὴν τίσιν Ἰωάννῃ ἀποκεκρίσθαι, ἐπὶ μέγα
the punishment for-John to-be-settled to great
τε αὐτῷ τὴν κόλασιν ἐξηρτύετο. ἐγίνετο δὲ
and for-him the punishment was-preparing it-came-about and
ὧδε.
thus

25.37 Ἦν τις ἐν Κυζίκῳ ἐπίσκοπος Εὐσέβιος ὄνομα,
there-was some in Cyzicus bishop Eusebius by-name
χαλεπὸς ἅπασι τοῖς ἐντυγχάνουσιν, Ἰωάννου οὐδέν τι
harsh to-all those meeting-him than-John nothing at-all
ἧσσον· τοῦτον Κυζικηνοὶ βασιλεῖ διαβάλλοντες ἐς δίκην
less this-man Cyzicenes to-emperor slandering to trial
ἐκάλουν.
called

ἐπεὶ δὲ οὐδὲν ἤνυον, δυνάμει αὐτοὺς περιελθόντος 25.38
when and nothing they-accomplished by-power them having-outwitted
Εὐσεβίου πολλῇ, ξυμφρονήσαντες νεανίαι τινὲς ἐν τῇ
Eusebius much having-conspired young-men some in the
Κυζίκου ἀγορᾷ κτείνουσιν.
of-Cyzicus market kill
ἐτύγχανε δὲ Ἰωάννης τῷ Εὐσεβίῳ διάφορος γεγονὼς 25.39
happened and John — with-Eusebius at-variance having-been
μάλιστα, καὶ ἀπ᾽ αὐτοῦ ἡ τῆς ἐπιβουλῆς ὑποψία ἐς
most and from it the of-the plot suspicion to
αὐτὸν ἦλθε.
him came
στέλλονται τοίνυν ἐκ βουλῆς ἄνδρες διερευνησόμενοι 25.40
are-sent therefore from senate men about-to-investigate
τὸ μίασμα τοῦτο· οἳ δὴ τὸν Ἰωάννην πρῶτα
the pollution this who indeed — John first
μὲν ἐν δεσμωτηρίῳ καθεῖρξαν, ἔπειτα δὲ ἄνδρα
indeed in prison shut-up then and man
ἔπαρχον μὲν δυνατὸν οὕτω γενόμενον, ἐς πατρικίους
prefect indeed powerful so having-been into patricians
δὲ ἀναγραφέντα καὶ ἐς τῶν ὑπάτων ἀναβεβηκότα
and enrolled and to of-the consuls having-ascended
τὸν δίφρον, οὗ μεῖζον εἶναι οὐδὲν ἔν γε
the seat than-which greater to-be nothing in at-least
τῇ Ῥωμαίων πολιτείᾳ δοκεῖ, ἔστησάν τε γυμνόν,
the of-Romans state seems they-stood both naked
ἅτε λῃστήν τινα ἢ λωποδύτην, καὶ ξαίνοντες
as robber some or footpad and scourging
κατὰ τοῦ νώτου πολλὰς εἰπεῖν τὰ βεβιωμένα
on the back many to-tell the-things lived
ἠνάγκαζον.
they-compelled

25.41 καὶ τοῦ μὲν Εὐσεβίου φόνου αἴτιος Ἰωάννης οὐ λίαν
and of-the indeed of-Eusebius murder guilty John not very
ἐξελήλεγκτο, ἐῴκει μέντοι ἡ τοῦ θεοῦ δίκη ποινὰς
had-been-convicted it-seemed however the — of-God justice penalties
αὐτὸν τῆς οἰκουμένης ἐσπραττομένη.
him for-the inhabited-world exacting

25.42 ἔπειτα δὲ τὰ χρήματα πάντα ἀφελόμενοι γυμνὸν ἐς
then and the money all having-taken-away naked into
τὴν ναῦν εἰσεβίβασαν, ἱμάτιον ἕν, καὶ τοῦτο τραχὺ
the ship they-put-on-board cloak one and this rough
κομιδῇ, ἀμπεχόμενον, ὀβολῶν ὠνηθὲν ὀλίγων τινῶν, οἵ
quite wearing for-obols bought few some those
τε αὐτὸν παραπέμποντες ὅπη ἂν ἡ ναῦς ὁρμισθείη
and him escorting wherever — the ship should-anchor
ἐκέλευον ἄρτον ἢ ὀβολοὺς ἐκ τῶν προσπιπτόντων
bade bread or obols from those falling-in-his-way
αἰτεῖσθαι.
to-ask

25.43 οὕτω τε πτωχεύων πανταχόθι τῆς πορείας
thus both begging everywhere of-the journey
τῆς Αἰγύπτου ἐς τὴν Ἀντινόου κομίζεται. καὶ
— of-Egypt to the of-Antinous is-brought and
τρίτον τοῦτο ἔτος αὐτὸν ἐνταῦθα καθείρξαντες
third this year him there having-shut-up
τηροῦσιν.
they-guard

25.44 ὁ δέ, καίπερ ἐν τοιούτοις γεγονὼς πάθεσιν, οὐδὲ τὴν
he and although in such having-been sufferings not-even the
τῆς βασιλείας ἐλπίδα μεθῆκεν, ἀλλὰ καὶ Ἀλεξανδρέων
of-the kingship hope let-go but even of-Alexandrians
τινάς, ἅτε τῷ δημοσίῳ χρυσίον ὀφείλοντας, διαβαλεῖν

ἔγνω. Ἰωάννην μὲν οὖν τὸν Καππαδόκην δέκα
decided John indeed then the Cappadocian ten
ἐνιαυτοῖς ὕστερον αὖτη τῶν πεπολιτευμένων κατέλαβε
years later this of-the-things done-in-office overtook
τίσις.
penalty

Τότε δὲ βασιλεὺς στρατηγόν τε τῆς ἑῴας αὖθις 26.1
then and emperor general both of-the east again
Βελισάριον κατεστήσατο καὶ ἐς Λιβύην πέμψας τὴν
Belisarius appointed and to Libya having-sent the
χώραν ἔσχεν, ὥσπερ ἐν τοῖς ὄπισθεν λελέξεται
land held as in the following will-be-told
λόγοις.
accounts

ὅπερ ἐπεὶ ἔς τε Χοσρόην καὶ Πέρσας ἦλθε, 26.2
which-indeed when to both Chosroes and Persians came
δεινῶς ἤσχαλλον, καὶ αὐτοῖς τὴν εἰρήνην
terribly they-were-distressed and to-them the peace
ἐς Ῥωμαίους πεποιημένοις μετέμελεν ἤδη,
toward Romans having-made it-repented already
ὅτι δὴ αὐτοῖς τὴν δύναμιν ἐπὶ μέγα χωρεῖν
that indeed their the power to great to-advance
ᾔσθοντο.
they-perceived

πέμψας τε ὁ Χοσρόης ἐς Βυζάντιον πρέσβεις, 26.3
having-sent and — Chosroes to Byzantium envoys
ξυγχαίρειν τε Ἰουστινιανῷ τῷ βασιλεῖ ἔφασκε, καὶ
to-rejoice-with both Justinian the emperor he-said and
τὸ μέρος λαβεῖν ξὺν γέλωτι δῆθεν τῶν ἐκ Λιβύης
the share to-take with laughter forsooth of-the from Libya
λαφύρων ἠξίου, ὅτι δὴ οὐκ ἄν ποτε Βανδίλων
spoils he-asked that indeed not — ever over-Vandals

τῷ πολέμῳ περιέσεσθαι ἴσχυσεν, εἰ μὴ αὐτῷ Πέρσαι
in-the war to-prevail he-could if not to-him Persians
ἐσπείσαντο.
had-made-truce

26.4 τότε μὲν οὖν Χοσρόην Ἰουστινιανὸς χρήμασι
then indeed then Chosroes Justinian with-money
δωρησάμενος, τοὺς πρέσβεις οὐκ εἰς μακρὰν
having-presented the envoys not after long
ἀπεπέμψατο.
sent-away

26.5 Ἐν δὲ πόλει Δάρας τοιόνδε τι ξυνέβη γενέσθαι.
in and city Daras such something befell to-come-about
Ἰωάννης τις ἦν ἐνταῦθα ἐν καταλόγῳ τεταγμένος πεζῶν·
John some was there in troop enrolled of-foot
οὗτος οὐχ ἁπάντων οἱ ξυμφρονούντων στρατιωτῶν,
this-man not all with-him conspiring soldiers
ἀλλ᾽ ὀλίγων τινῶν, τυραννίδι ἐπιθέμενος τὴν πόλιν
but few some for-tyranny having-set-hand the city
ἔσχεν.
held

26.6 ἔν τε παλατίῳ καθήμενος ὥσπερ ἐν ἀκροπόλει, τὴν
in and palace sitting as-if in acropolis the
τυραννίδα ἐκρατύνετο ἡμέρα ἑκάστῃ.
tyranny strengthened day each

26.7 καὶ εἰ μὴ Πέρσας ἔχεσθαι εἰρήνης ἐς τοὺς Ῥωμαίους
and if not Persians to-keep-to peace toward the Romans
τηνικαῦτα ξυνέβη, ἀνήκεστα ἂν ἐνθένδε Ῥωμαίοις
at-that-time it-befell incurable — from-there for-Romans
ἐγεγόνει κακά. νῦν δὲ τοῦτο ἐκώλυσε φθάσασα,
would-have-come evils now and this prevented having-come-first
ὥσπερ μοι ἐρρήθη, ἡ ξύμβασις.
as by-me it-has-been-said the agreement

ἡμέρᾳ δὲ ἀπὸ τῆς τυραννίδος τετάρτῃ ξυμφρονήσαντες 26.8
on-day and from the tyranny fourth having-conspired
στρατιῶται, γνώμῃ Μάμαντός τε τοῦ τῆς
soldiers by-the-counsel of-Mamas both the of-the
πόλεως ἱερέως καὶ Ἀναστασίου τῶν δοκίμων τινὸς
city priest and of-Anastasius of-the notable some
πολιτῶν, ἐς τὸ παλάτιον μεσημβρίας ἀκμαζούσης
citizens to the palace noon being-at-its-height
ἀνέβησαν, κρύψας ἕκαστος ὑπὸ τῷ ἱματίῳ
went-up having-hidden each under the cloak
ξιφίδιον.
dagger
καὶ πρῶτα μὲν ἐν τῇ μεταύλῳ θύρᾳ τῶν δορυφόρων 26.9
and first indeed in the inner door of-the guards
εὑρόντες ὀλίγους τινὰς εὐθὺς ἔκτειναν. ἔπειτα δὲ καὶ
having-found few some at-once killed then and also
εἰς τὸν ἀνδρῶνα ἐσβάντες τοῦ τυράννου ἥπτοντο·
into the men's-hall having-entered of-the tyrant laid-hold
τινὲς δέ φασιν οὐ τοὺς στρατιώτας αὐτὸ πρώτους
some and say not the soldiers it first
εἰργάσθαι, ἀλλ' αὐτῶν ἔτι μελλόντων τε ἐν τῇ
to-have-done but they still delaying both in the
μεταύλῳ καὶ κατωρρωδηκότων τὸν κίνδυνον, τῶν τινα
inner-court and having-dreaded the danger of-the one
ἀλλαντοπωλῶν ξὺν αὐτοῖς ὄντα ἐσπηδῆσαί τε ξὺν
sausage-sellers with them being to-have-leapt-in both with
τῇ κοπίδι καὶ τῷ Ἰωάννῃ ἐντυχόντα ἀπροσδοκήτως
the cleaver and — John having-met unexpectedly
παῖσαι.
to-have-struck

26.10 καὶ τὸν οὐ πληγέντα μὲν καιρίαν πληγήν, ξὺν θορύβῳ
and him not struck indeed mortal blow with uproar
δὲ πολλῷ φεύγοντα, ἐς τούτους δὴ τοὺς στρατιώτας
and much fleeing into these indeed the soldiers
ἐμπεσεῖν ἄφνω.
to-have-fallen suddenly

26.11 οὕτω τε τοῦ ἀνθρώπου αὐτοὺς ἁψαμένους πῦρ μὲν
thus and of-the man them having-laid-hold-of fire indeed
αὐτίκα τῷ παλατίῳ ὑφάψαντας καῦσαι, ὡς μή τις
at-once to-the palace having-set to-have-burned so-that not any
ἐλπὶς ἐνθένδε ἀπολειφθείη τοῖς τὰ νεώτερα πράγματα
hope from-there might-be-left to-those the new affairs
πράσσουσιν, αὐτὸν δὲ ἐς τὸ δεσμωτήριον ἀπαγαγόντας
doing him and into the prison having-led-off
δῆσαι.
to-have-bound

26.12 καὶ αὐτῶν τινα δείσαντα μὴ οἱ στρατιῶται περιεῖναι
and of-them one having-feared lest the soldiers to-survive
τὸν τύραννον γνόντες πράγματα τῇ πόλει αὖθις
the tyrant having-learned troubles to-the city again
παράσχωνται, κτεῖναί τε τὸν Ἰωάννην, καὶ
should-cause to-have-killed both — John and
τούτῳ δὴ τῷ τρόπῳ τὴν ταραχὴν παῦσαι.
in-this indeed the manner the confusion to-have-stopped
τὰ μὲν οὖν ἀμφὶ ταύτῃ τῇ τυραννίδι τῇδε
the-things indeed then about this the tyranny thus
ἐχώρησεν.
went

BOOK II

XIV · THE PRETEXTS FOR WAR

Hearing that Belisarius is winning Italy, Chosroes asks Alamundaras for a pretext, and the Saracens quarrel over the pastureland of Strata; Chosroes charges Justinian with bribing Alamundaras and summoning Huns. Vittigis sends two Ligurian priests to urge Chosroes to strike before Justinian turns east. Armenians, angry at Acacius' new taxes, kill him; Sittas, sent against them, dies in a skirmish by a ravine, and Bouzes lures John the Arsacid to a meeting and kills him. The Armenians go to Chosroes and set before him Justinian's seizures of Lazica, the Tzani, the Bosporus, the Homerites, Libya, and Italy. Chosroes decides to make war in the spring.

Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον ὁ Χοσρόης μαθὼν ὡς 1.1
in-time and not much later — Chosroes having-learned that
καὶ Ἰταλίαν Βελισάριος Ἰουστινιανῷ βασιλεῖ προσποιεῖν
also Italy Belisarius for-Justinian emperor to-win
ἤρξατο, οὐκέτι κατέχειν οἷός τε ἦν τὴν διάνοιαν, ἀλλὰ
began no-longer to-restrain able — he-was the mind but
σκήψεις ἐπινοεῖν ἤθελεν, ὅπως δὴ λόγῳ τινὶ εὐπρεπεῖ
pretexts to-devise wished so-that indeed with-word some seemly
τὰς σπονδὰς λύσειεν.
the treaty he-might-break
ὑπὲρ ὧν κοινολογησάμενος Ἀλαμουνδάρῳ ἐκέλευεν αὐτὸν 1.2
about which having-conferred with-Alamundaras he-bade him
ξυμπορίζεσθαι πολέμου αἰτίας.
to-help-provide of-war causes

1.3 ὁ δὲ Ἀρέθᾳ ἐπικαλέσας ὅτι αὐτὸν περὶ γῆς ὁρίων
he and against-Arethas having-accused that him about of-land boundaries
βιάζοιτο, ἐς χεῖράς τε αὐτῷ ἐν σπονδαῖς ἦλθε καὶ
he-was-violating into hands both with-him in treaty came and
γῆν τὴν Ῥωμαίων ἐπὶ ταύτῃ τῇ σκήψει καταθεῖν ἤρξατο.
land the of-Romans on this the pretext to-overrun began
1.4 ἔφασκέ τε ὡς αὐτὸς οὐ λύει τὰς Περσῶν τε καὶ
he-said and that he-himself not breaks the of-Persians both and
Ῥωμαίων σπονδάς, ἐπεὶ αὐτὸν ἐς ταύτας οὐδέτεροι
of-Romans treaty since him into these neither-party
ἐσεγράψαντο.
had-enrolled
1.5 καὶ ἦν δὲ οὕτως. οὐ γάρ τις πώποτε Σαρακηνῶν λόγος
and it-was too so not for any ever of-Saracens mention
ἐν σπονδαῖς γέγονεν, ἅτε ξυνεχομένων τῷ Περσῶν τε
in treaties has-come-about as being-included in-the of-Persians both
καὶ Ῥωμαίων ὀνόματι.
and of-Romans name
1.6 αὕτη δὲ ἡ χώρα, ἣ δὴ πρὸς ἑκατέρων τότε
this and the land which indeed by each then
Σαρακηνῶν ἀντελέγετο, Στρᾶτα μὲν κέκληται, Παλμύρας
of-Saracens was-disputed Strata indeed is-called of-Palmyra
δὲ πόλεως πρὸς νότον ἄνεμον τέτραπται, δένδρον μὲν
and city toward south wind is-turned tree indeed
ἤ τι τῶν ἐν τοῖς ληίοις ἀγαθῶν οὐδαμῇ φέρουσα
or anything of-the in the crops goods in-no-way bearing
(ἡλιόκαυστος γὰρ ὑπερφυῶς ἐστι), προβάτων δέ τισιν
sun-scorched for extraordinarily it-is of-flocks and some
ἐκ παλαιοῦ ἀνειμένη νομαῖς.
from of-old let-go for-pastures

Ἀρέθας μὲν οὖν Ῥωμαίων ἰσχυρίζετο εἶναι τὸν χῶρον, 1.7
Arethas indeed then of-Romans insisted to-be the place
τῷ τε ὀνόματι τεκμηριούμενος οὗ δὴ πρὸς πάντων
by-the both name proving which indeed by all
ἄνωθεν ἔτυχε (Στρᾶτα γὰρ ἡ ἐστρωμένη ὁδὸς τῇ
from-above it-had Strata for the paved road in-the
Λατίνων καλεῖται φωνῇ) καὶ μαρτυρίαις παλαιοτάτων
of-Latins is-called tongue and testimonies of-most-ancient
ἀνδρῶν χρώμενος.
men using
Ἀλαμούνδαρος δὲ φιλονεικεῖν μὲν ὑπὲρ τοῦ ὀνόματος 1.8
Alamundaras and to-dispute indeed about the name
ἥκιστα ἐδικαίου, μισθοὺς δέ οἱ τοῦ ἐνταῦθα νομοῦ ἐκ
least thought-right rents and to-him for-the there pasture from
παλαιοῦ ἔφασκε τοὺς τὰ πρόβατα κεκτημένους διδόναι.
of-old he-said those the flocks possessing to-give
διὸ δὴ βασιλεὺς Ἰουστινιανὸς Στρατηγίῳ τε πατρικίῳ 1.9
wherefore indeed emperor Justinian to-Strategius both patrician
ἀνδρὶ καὶ τῶν βασιλικῶν θησαυρῶν ἄρχοντι, ἄλλως
man and of-the imperial treasures controller otherwise
δὲ ξυνετῷ καὶ εὐπατρίδῃ, ἔτι μέντοι καὶ Σούμμῳ
and sagacious and well-born further however also to-Summus
τῶν ἐν Παλαιστίνῃ στρατιωτῶν ἡγησαμένῳ, τὴν τῶν
of-the in Palestine soldiers having-commanded the of-the
ἀντιλεγομένων ἐπέτρεψε δίαιταν.
disputed-matters entrusted arbitration
ὁ δὲ Σοῦμμος Ἰουλιανοῦ ἀδελφὸς ἦν, ὃς ὀλίγῳ 1.10
— and Summus of-Julian brother was who a-little
ἔμπροσθεν ἐς Αἰθίοπάς τε καὶ Ὁμηρίτας ἐπρέσβευσε.
before to Ethiopians both and Homerites went-as-envoy

1.11 καὶ αὐτοῖν ἄτερος μέν, Σοῦμμος, μὴ χρῆναι Ῥωμαίους
and of-the-two the-one indeed Summus not to-be-needful Romans
καταπροΐεσθαι τὴν χώραν ἠξίου, Στρατήγιος δὲ βασιλέως
to-give-up the land thought Strategius and emperor
ἐδεῖτο μὴ χώρας τινὸς ἕνεκα βραχείας τε καὶ ὡς ἥκιστα
begged not of-land some for-sake small both and as least
λόγου ἀξίας, ἀλλὰ ἀγόνου τε καὶ ἀκάρπου παντάπασιν
of-word worthy but barren both and fruitless altogether
οὔσης, Πέρσαις πολεμησείουσι σκήψεις τοῦ πολέμου
being to-Persians wishing-to-make-war pretexts of-the war
χαρίζεσθαι· βασιλεὺς μὲν οὖν Ἰουστινιανὸς ταῦτα ἐν βουλῇ
to-grant emperor indeed then Justinian these-things in counsel
ἐποιεῖτο, καὶ χρόνος πολὺς ταύτῃ δὴ τῇ διαίτῃ ἐτρίβη.
made and time long in-this indeed the arbitration was-worn-away

1.12 Χοσρόης δὲ ὁ Περσῶν βασιλεὺς λελύσθαι πρὸς
Chosroes and the of-Persians king to-have-been-broken by
Ἰουστινιανοῦ τὰς σπονδὰς ἔφασκε, πολλὴν ἐπιβουλὴν
Justinian the treaty said much plotting
ἐς οἶκον τὸν αὐτοῦ ἄρτι ἐνδειξαμένου, οἷς δὴ
against house the his just-now having-displayed in-that indeed
ἑταιρίζεσθαι Ἀλαμούνδαρον ἐν σπονδαῖς ἐνεχείρησε.
to-win-over Alamundaras in treaty he-had-attempted

1.13 Σοῦμμον γὰρ ἔναγχος ἐπὶ διαίτῃ δῆθεν τῷ λόγῳ παρ'
Summus for lately on arbitration forsooth in-the word to
αὐτὸν ἥκοντα ἐπαγγελίαις αὐτὸν περιελθεῖν μεγάλων
him coming with-promises him to-have-outwitted of-great
χρημάτων, ἐφ' ᾧ προσχωρήσει Ῥωμαίοις, γράμματά
money on which he-will-go-over to-Romans writings
τε προΐσχετο ἃ δὴ πρὸς Ἀλαμούνδαρον ὑπὲρ τούτων
and he-held-forth which indeed to Alamundaras about these-things
Ἰουστινιανὸς βασιλεὺς ἔγραψε.
Justinian emperor wrote

καὶ πρὸς Οὔννων δέ τινας ἰσχυρίζετο αὐτὸν ἐπιστολὴν 1.14
and to of-Huns too some he-insisted him letter
πέμψαι, ἐγκελευομένην αὐτοῖς ἐσβαλεῖν τε ἐς τὴν
to-have-sent urging them to-invade both into the
Περσῶν γῆν καὶ τοῖς ἐκείνῃ χωρίοις ἐπὶ πλεῖστον
of-Persians land and the there places over most
λυμήνασθαι. ἣν δή οἱ τοὺς Οὔννους αὐτοὺς ἔφασκεν
to-ravage which indeed to-him the Huns themselves he-said
ἐγχειρίσαι ἐς ὄψιν ἐλθόντας.
to-have-handed into sight having-come
ταῦτα μὲν Χοσρόης ἐπικαλῶν Ῥωμαίοις τὰς σπονδὰς 1.15
these-things indeed Chosroes charging to-Romans the treaty
λύειν διενοεῖτο. εἰ μέντοι ταῦτα λέγοντί οἱ
to-break intended whether however these-things saying for-him
ἀληθίζεσθαι ξυνέβαινεν, οὐκ ἔχω εἰπεῖν.
to-speak-truth it-befell not I-can to-say
Ἐν τούτῳ δὲ Οὐίττιγις, ὁ τῶν Γότθων ἡγούμενος, ἤδη 2.1
in this and Vittigis the of-the Goths leading already
τῷ πολέμῳ κεκακωμένος, πρέσβεις δύο παρ᾽ αὐτὸν
by-the war afflicted envoys two to him
ἔπεμψεν, ἀναπείσοντας ἐπὶ Ῥωμαίους στρατεύεσθαι, οὐ
sent about-to-persuade against Romans to-march not
Γότθους μέντοι, ὅπως μὴ κατάδηλοι αὐτόθεν γινόμενοι
Goths however so-that not obvious thereby becoming
ξυγχέωσι τὰ πρασσόμενα, ἀλλὰ Λιγούρους ἱερεῖς,
they-might-spoil the-things being-done but Ligurians priests
χρήμασιν ἁδροῖς ἐς ταύτην ἠγμένους τὴν πρᾶξιν.
with-money abundant into this led the deed
ὧν ἄτερος μέν, ὅσπερ ἀξιώτερος ἔδοξεν εἶναι, δόκησίν 2.2
of-whom the-one indeed who-indeed more-worthy seemed to-be appearance
τε καὶ ὄνομα ἐπισκόπου περιβεβλημένος οὐδὲν αὐτῷ
both and name of-bishop having-put-on nothing to-him

προσῆκον, ἐς τὴν πρεσβείαν καθίστατο, ὁ δὲ δὴ
belonging to the embassy was-appointed the and indeed
ἕτερος αὐτῷ ὑπηρετῶν εἵπετο.
other him serving followed

2.3 ὁδῷ τε ἰόντες ἐς τὰ ἐπὶ τῆς Θρᾴκης χωρία
on-the-road both going to the-parts on — Thrace places
ἑταιρίζονταί τινα ἐνθένδε Σύρας τε καὶ τῆς Ἑλληνίδος
attach some from-there of-Syriac both and of-the Greek
φωνῆς ἑρμηνέα σφίσιν ἐσόμενον, ἅπαντάς τε Ῥωμαίους
tongue interpreter for-them about-to-be all and Romans
λαθόντες ἐς τὰ Περσῶν ἤθη ἀφίκοντο. ἅτε γὰρ ἐν
having-escaped-notice-of into the of-Persians haunts arrived as for in
σπονδαῖς καθεστῶτες οὐκ ἐς τὸ ἀκριβὲς ταύτῃ ἐφύλασσον.
treaty being not to the exact there they-were-guarding

2.4 Χοσρόου τε ἐς ὄψιν ἐλθόντες ἔλεξαν τοιάδε “Τοὺς
of-Chosroes and into sight having-come spoke such-things the
μὲν ἄλλους ἅπαντας, ὦ βασιλεῦ, πρέσβεις τῶν αὐτοῖς
indeed others all O king envoys of-the for-themselves
ἕνεκα ξυμφόρων ἐκ τοῦ ἐπὶ πλεῖστον ξυμβαίνει ἐς τὴν
for-sake advantages from the on most it-befalls to the
πρεσβείαν καθίστασθαι, ἡμᾶς δὲ Οὐίττιγις ὁ Γότθων
embassy to-be-appointed us and Vittigis the of-Goths
τε καὶ Ἰταλιωτῶν βασιλεὺς ἔπεμψε τοὺς λόγους ὑπὲρ
both and of-Italians king sent the words for
τῆς σῆς ποιησομένους ἀρχῆς· καὶ αὐτὸν νόμιζε παρόντα
the your about-to-make rule and him consider being-present
σοι τανῦν φθέγγεσθαι τάδε.
to-you now to-utter these-things

εἴ τίς σε, ὦ βασιλεῦ, ξυνελὼν φαίη τήν τε σὴν 2.5
if anyone you O king concisely should-say the both your
βασιλείαν καὶ πάντας ἀνθρώπους Ἰουστινιανῷ προέσθαι,
kingdom and all men to-Justinian to-have-given-up
ὀρθῶς ἂν εἴποι.
rightly — he-would-speak
ὁ μὲν γὰρ νεωτεροποιός τε ὢν φύσει καὶ τῶν 2.6
he indeed for innovating both being by-nature and of-the-things
οὐδ' ὁπωστιοῦν αὐτῷ προσηκόντων ἐρῶν, μένειν
not in-any-way-whatever to-him belonging loving to-remain
τε οὐ δυνάμενος ἐν τοῖς καθεστῶσι, γῆν μὲν ἅπασαν
and not being-able in the established-order land indeed all
ξυλλαβεῖν ἐπεθύμησεν, ἑκάστην δὲ ἀρχὴν περιβαλέσθαι
to-seize desired each and rule to-embrace
ἐν σπουδῇ ἔσχεν.
in earnest had
εἶτα (οὐδὲ γὰρ Πέρσαις κατὰ μόνας ἐγχειρεῖν ἴσχυεν 2.7
then neither for Persians by alone to-attack was-able
οὐδὲ Περσῶν οἱ ἀντιστατούντων οἷός τε ἦν ἐπ'
nor of-Persians him opposing able — was against
ἄλλους ἰέναι) σὲ μὲν τῷ τῆς εἰρήνης παραπετάσματι
others to-go you indeed with-the of-the peace screen
ἐξαπατᾶν ἔγνω, τοὺς δὲ λοιποὺς βιαζόμενος μεγάλας
to-deceive decided the and rest forcing great
δυνάμεις ἐπὶ τῇ σῇ ἀρχῇ ἑταιρίζεσθαι.
powers against the your rule to-win-over
Βανδίλων μὲν οὖν ἤδη καθελὼν τὴν βασιλείαν καὶ 2.8
of-Vandals indeed then already having-destroyed the kingdom and
Μαυρουσίους καταστρεψάμενος, Γότθων αὐτῷ φιλίας
Moors having-subdued of-Goths for-him of-friendship

ὀνόματι ἐκποδὼν ἱσταμένων, χρήματά τε μεγάλα καὶ
by-name out-of-the-way standing money both great and
σώματα πολλὰ ἐπαγόμενος ἐφ᾽ ἡμᾶς ἥκει.
bodies many bringing-along against us he-comes

2.9 ἔνδηλος δέ ἐστιν, ἢν καὶ Γότθους παντάπασιν ἐξελεῖν
evident and he-is if even Goths altogether to-destroy
δύνηται, ὡς ξὺν ἡμῖν τε καὶ τοῖς ἤδη δεδουλωμένοις
he-be-able that with us both and those already enslaved
ἐπὶ Πέρσας στρατεύσει, οὔτε τὸ τῆς φιλίας ἐννοῶν
against Persians he-will-march neither the of-the friendship considering
ὄνομα οὔτε τι τῶν ὀμωμοσμένων ἐρυθριῶν.
name nor anything of-the-things sworn blushing-at

2.10 ἕως οὖν ἔτι σοι λείπεταί τις σωτηρίας ἐλπίς, μήτε
while then still to-you is-left some of-safety hope neither
ἡμᾶς ἐργάσῃ κακὸν περαιτέρω μηδὲν μήτε αὐτὸς πάθῃς,
to-us do harm further anything nor yourself suffer
ἀλλ᾽ ὅρα μὲν ἐν τοῖς ἡμετέροις κακοῖς ὅσα ὀλίγῳ
but see indeed in the our evils what-things a-little
ὕστερον ξυμβήσεται Πέρσαις, ἐνθυμοῦ δὲ ὡς Ῥωμαῖοι
later will-befall to-Persians consider and that Romans
τῇ σῇ βασιλείᾳ εὖνοι μὲν οὐκ ἄν ποτε εἶεν,
to-the your kingdom well-disposed indeed not — ever would-be
δυνάμει δὲ κρείσσους γενόμενοι οὐδὲν μελλήσουσι τὸ
in-power and stronger having-become nothing will-delay the
ἐς Πέρσας ἔχθος ἐνδείκνυσθαι.
against Persians hatred to-display

2.11 ἐν δέοντι τοίνυν τῇ ἐξουσίᾳ χρῆσαι, μὴ παυσαμένην
in due-time therefore the opportunity use not having-ceased
ἐπιζητήσῃς. λωφήσασα γὰρ ἡ τῶν καιρῶν ἀκμὴ
seek having-abated for the of-the occasions height
ἐπανιέναι οὐδαμῶς πέφυκεν. ἄμεινον δὲ προτερήσαντα
to-come-back in-no-way is-by-nature better and having-anticipated

ἐν τῷ ἀσφαλεῖ εἶναι ἢ τῶν καιρῶν ὑστεροκότα τὰ
in the safety to-be than of-the occasions having-come-too-late the
πάντων αἰσχρότατα πρὸς τῶν πολεμίων παθεῖν."
of-all most-shameful-things by the enemies to-suffer
Ταῦτα ἐπεὶ Χοσρόης ἤκουσεν, εὖ τέ οἱ παραινεῖν 2.12
these-things when Chosroes heard well both to-him to-advise
Οὐίττιγις ἔδοξε καὶ λύειν τὰς σπονδὰς ἔτι μᾶλλον ἐν
Vittigis seemed and to-break the treaty still more in
σπουδῇ εἶχε. φθόνῳ γὰρ ἐς Ἰουστινιανὸν βασιλέα
earnest he-held by-envy for toward Justinian emperor
ἐχόμενος, λογίζεσθαι ὡς ἥκιστα ἔγνω, ὅτι δὴ πρὸς
held to-reckon as least decided that indeed from
ἀνδρῶν Ἰουστινιανῷ βασιλεῖ δυσμενῶν μάλιστα οἱ λόγοι
men to-Justinian emperor hostile most the words
ἐς αὐτὸν γένοιντο.
to him came
ἀλλὰ τῷ βούλεσθαι ἐς τὸ πεισθῆναι αὐτόμολος ἦλθεν. ὃ 2.13
but by-the to-wish for the to-be-persuaded of-his-own-accord he-came which
δὴ καὶ ἐς τοὺς Ἀρμενίων τε καὶ Λαζῶν λόγους ὀλίγῳ
indeed also toward the of-Armenians both and of-Lazi words a-little
ὕστερον ἔδρασεν ἅπερ μοι αὐτίκα μάλα λελέξεται.
later he-did which-indeed by-me at-once very will-be-told
καίτοι τοιαῦτα Ἰουστινιανῷ ἐπεκάλουν ἐγκλήματα, ἅπερ 2.14
and-yet such against-Justinian they-alleged charges which
ἂν εἰκότως βασιλεῖ γενναίῳ ἐγκώμια εἴη, ὅτι δὴ
— fittingly for-emperor noble praises would-be that indeed
τὴν βασιλείαν τὴν αὑτοῦ μείζω τε ποιῆσαι καὶ πολλῷ
the empire the his-own greater both to-make and much
ἐπιφανεστέραν ἐν σπουδῇ ἔχοι.
more-illustrious in earnest he-held

2.15 ταῦτα γὰρ καὶ Κύρῳ ἄν τις ἐπενέγκοι τῷ Περσῶν
these-things for also against-Cyrus — anyone might-bring the of-Persians
βασιλεῖ καὶ Ἀλεξάνδρῳ τῷ Μακεδόνι. ἀλλὰ γὰρ φθόνῳ
king and against-Alexander the Macedonian but for with-envy
τὸ δίκαιον οὐδαμῇ εἴωθε ξυνοικίζεσθαι. διὰ ταῦτα
the justice in-no-way is-accustomed to-dwell-together because-of these-things
μὲν ὁ Χοσρόης τὰς σπονδὰς λύειν διενοεῖτο.
indeed — Chosroes the treaty to-break intended

3.1 Ἐν τούτῳ δὲ καὶ ἄλλο τι γενέσθαι τοιόνδε ξυνέβη.
in this and also other something to-come-about such befell
Συμεώνης ἐκεῖνος, ὁ τὸ Φαράγγιον Ῥωμαίοις ἐνδούς,
Symeones that the — Pharangion to-Romans having-handed-over
Ἰουστινιανὸν βασιλέα πείθει, ἔτι τοῦ πολέμου ἀκμάζοντος,
Justinian emperor persuades still the war being-at-its-height
κώμαις αὐτόν τισιν ἀνδρῶν Ἀρμενίων δωρήσασθαι.
with-villages him some of-men Armenian to-present

3.2 κύριός τε τῶν χωρίων γενόμενος πρὸς τῶν αὐτὰ πάλαι
master and of-the places having-become by those them of-old
κεκτημένων ἐξ ἐπιβουλῆς θνήσκει.
having-possessed by plot dies

3.3 ἐξειργασμένου δὲ τοῦ κακοῦ οἱ τοῦ φόνου αὐτουργοὶ
having-been-accomplished and the evil the of-the murder perpetrators
φεύγουσιν ἐς τὰ Περσῶν ἤθη. ἀδελφὼ δὲ ἦστην δύο
flee into the of-Persians haunts brothers and were-the-two two
Περόζου παῖδε. βασιλεύς τε ταῦτα ἀκούσας τάς τε
of-Peroz sons emperor and these-things having-heard the both
κώμας Ἀμαζάσπῃ παραδίδωσι τῷ Συμεώνου ἀδελφιδῷ
villages to-Amazaspes hands-over the of-Symeones nephew
καὶ ἄρχοντα κατεστήσατο Ἀρμενίοις αὐτόν.
and commander appointed for-Armenians him

τοῦτον τὸν Ἀμαζάσπην, προϊόντος τοῦ χρόνου, Ἰουστινιανῷ 3.4
this — Amazaspes advancing the time to-Justinian
βασιλεῖ τῶν τις ἐπιτηδείων διέβαλλεν, Ἀκάκιος ὄνομα,
emperor of-the some intimates slandered Acacius by-name
κακουργεῖν τε ἐς Ἀρμενίους καὶ βούλεσθαι Πέρσαις
to-do-harm both to Armenians and to-wish to-Persians
ἐνδοῦναι Θεοδοσιούπολίν τε καὶ ἄλλα ἄττα πολίσματα.
to-hand-over Theodosiopolis both and other some towns
ταῦτα εἰπὼν γνώμῃ βασιλέως Ἀκάκιος τὸν Ἀμαζάσπην 3.5
these-things having-said by-the-will of-emperor Acacius — Amazaspes
δόλῳ ἔκτεινε, καὶ τὴν Ἀρμενίων ἀρχὴν δόντος
by-treachery killed and the of-Armenians command having-given
βασιλέως ἔσχεν αὐτός.
emperor got himself
πονηρὸς δὲ ὢν φύσει ἔσχε καθ' ὅ τι τὰ τῆς ψυχῆς 3.6
wicked and being by-nature he-had by which — the of-the soul
ἤθη ἐνδείξοιτο. γέγονεν οὖν ἐς τοὺς ἀρχομένους
character he-might-display he-became then toward the ruled
ὠμότατος ἀνθρώπων ἁπάντων.
most-cruel of-men all
τά τε γὰρ χρήματα ἐληίζετο οὐδενὶ λόγῳ καὶ φόρου 3.7
the both for money he-plundered with-no reason and of-tribute
αὐτοῖς ἀπαγωγὴν οὔποτε οὖσαν ἐς κεντηνάρια τέσσαρα
for-them payment never existing to centenaria four
ἔταξεν. Ἀρμένιοι δέ (φέρειν γὰρ οὐκέτι αὐτὸν οἷοί τε
he-imposed Armenians and to-bear for no-longer him able —
ἦσαν) κτείνουσι τε ξυμφρονήσαντες τὸν Ἀκάκιον καὶ ἐς
were kill both having-conspired — Acacius and to
τὸ Φαράγγιον καταφεύγουσι.
— Pharangion flee

3.8 Διὸ δὴ Σίτταν ἐπ᾽ αὐτοὺς ἐκ Βυζαντίου βασιλεὺς
wherefore indeed Sittas against them from Byzantium emperor
ἔπεμψεν. ἐνταῦθα γὰρ ὁ Σίττας διέτριβεν, ἐπειδὴ
sent there for — Sittas was-staying since
Ῥωμαίοις ἐγένοντο αἱ πρὸς Πέρσας σπονδαί.
for-Romans came-about the with Persians treaty

3.9 ὃς δὴ ἐς Ἀρμενίους ἐλθὼν τὰ μὲν πρῶτα ἐς τὸν
who indeed to Armenians having-come the indeed first to the
πόλεμον ὀκνηρῶς ἤει, τιθασσεύειν μέντοι καὶ ἐπὶ τὰ
war reluctantly went to-tame however and to the
πρότερα ἤθη ἀντικαθιστάναι τοὺς ἀνθρώπους ἠπείγετο,
former ways to-restore the men he-hastened
πείθειν βασιλέα ὑποσχόμενος ἀφεῖναι αὐτοῖς τὴν καινὴν
to-persuade emperor having-promised to-remit for-them the new
τοῦ φόρου ἀπαγωγήν.
of-the tribute payment

3.10 ἐπεὶ δὲ αὐτὸν βασιλεὺς τῆς μελλήσεως πολλὰ ὀνειδίζων
when and him emperor for-the delay much reproaching
ἐκάκιζεν, ἠγμένος ταῖς Ἀδολίου διαβολαῖς τοῦ Ἀκακίου
reviled led by-the of-Adolius slanders the of-Acacius
παιδός, ἐνταῦθα ἤδη ὁ Σίττας τὰ ἐς τὴν ξυμβολὴν
son there already — Sittas the-things for the engagement
ἐξηρτύετο.
prepared

3.11 πρῶτον μὲν οὖν ὑποσχέσεσι πολλῶν ἀγαθῶν ἀναπείθειν τε
first indeed then with-promises of-many goods to-persuade both
καὶ ἑταιρίζεσθαι αὐτῶν τινας ἐνεχείρησεν, ὅπως αὐτῷ ῥᾴων
and to-win-over of-them some he-attempted so-that for-him easier
τε καὶ ἀπονωτέρα ἡ ἐς τοὺς λοιποὺς ἐπικράτησις γένοιτο.
both and less-toilsome the over the rest victory might-be

καί οἱ τὸ τῶν Ἀσπετιανῶν καλουμένων γένος, μέγα 3.12
and to-him the of-the Aspetiani called race great
τε ὂν καὶ πολυάνθρωπον, προσχωρεῖν ἤθελε.
both being and populous to-go-over wished
πέμψαντές τε παρὰ τὸν Σίτταν ἐν γράμμασιν ἐδέοντο 3.13
having-sent and to — Sittas in writing they-asked
διδόναι τὰ πιστὰ σφίσιν, ὅτι δή, ἢν ἐν τῷ ἔργῳ
to-give the pledges to-them that indeed if in the action
τοὺς ὁμογενεῖς ἀπολιπόντες ἥξωσιν ἐς τὴν Ῥωμαίων
the kinsmen having-left they-come to the of-Romans
παράταξιν, κακῶν παντάπασιν ἀπαθεῖς μείνωσι, τὰ
battle-line of-evils altogether untouched they-shall-remain the
σφέτερα αὐτῶν ἔχοντες.
their own having
ὁ δὲ αὐτοῖς ἄσμενός τε γράψας ἐν βιβλιδίῳ καθάπερ 3.14
he and to-them gladly both having-written in little-book as
ἐδέοντο τὰ πιστὰ ἔδωκε, καὶ τὸ γράμμα κατασημηνάμενος
they-asked the pledges gave and the writing having-sealed
ἐς αὐτοὺς ἔπεμψε.
to them sent
θαρσῶν τε ὡς δι᾽ αὐτῶν ἀμαχητὶ τοῦ πολέμου 3.15
taking-courage and that through them without-a-fight the war
κρατήσει, τῷ παντὶ στρατῷ ἐς χωρίον Οἰνοχαλάκων
he-will-win with-the whole army to place Oenochalacon
ᾔει, ἔνθα τοὺς Ἀρμενίους ἐστρατοπεδεῦσθαι ξυνέβαινε.
went where the Armenians to-be-encamped it-befell
τύχῃ δέ τινι οἱ τὸ βιβλίον ἔχοντες ἑτέρᾳ ἰόντες ὁδῷ 3.16
by-chance and some those the little-book having by-another going road
Ἀσπετιανοῖς ἐντυχεῖν οὐδαμῇ ἴσχυσαν.
Aspetiani to-meet in-no-way were-able

3.17 μοῖρα μέντοι τοῦ Ῥωμαίων στρατοῦ ὀλίγοις τισὶν
portion however of-the of-Romans army few some
αὐτῶν ἐντυχόντες, οὐκ εἰδότες τε τὰ ξυγκείμενα, ὡς
of-them having-met not knowing and the-things agreed as
πολεμίοις ἐχρήσαντο.
enemies treated

3.18 καὶ αὐτὸς Σίττας ἐν σπηλαίῳ που παῖδάς τε αὐτῶν
and himself Sittas in cave somewhere children both their
καὶ γυναῖκας λαβὼν ἔκτεινεν, ἢ τὸ γεγονὸς οὐ
and women having-taken killed either the having-happened not
ξυνιεὶς ἢ δι' ὀργῆς Ἀσπετιανοὺς ἔχων, ὅτι οἱ,
understanding or in anger Aspetiani holding because to-him
καθάπερ ξυνέκειτο, οὐ προσεχώρουν.
as had-been-agreed not they-went-over

3.19 Οἱ δὲ θυμῷ ἤδη ἐχόμενοι ξὺν τοῖς ἄλλοις ἅπασιν
they and by-anger already held with the others all
ὡς ἐς μάχην ἐτάξαντο. ἅτε δὲ ἐν δυσχωρίαις χαλεπαῖς
as for battle drew-up as and in rough-places difficult
τε καὶ κρημνώδεσιν ἑκάτεροι ὄντες οὐκ ἐν ἑνὶ χώρῳ
both and precipitous each-side being not in one place
ἐμάχοντο, ἀλλὰ διασκεδαννύμενοι ἔν τε ὑπωρείαις καὶ
they-fought but scattering in both foothills and
φάραγξι. τετύχηκεν οὖν τῶν τε Ἀρμενίων ὀλίγους τινὰς
ravines it-happened then of-the both Armenians few some
καὶ Σίτταν τῶν ἑπομένων οὐ πολλοὺς ἔχοντα ἀλλήλων
and Sittas of-those following not many having one-another
πη ἄγχιστα ἰέναι, φάραγγος σφίσι τινὸς μεταξὺ οὔσης.
somehow nearest to-go ravine to-them some between being

3.20 ἱππεῖς δὲ ἦσαν ἑκάτεροι. ὁ μὲν οὖν Σίττας, ὀλίγων οἱ
horsemen and were each-side — indeed then Sittas few him
ἐπισπομένων, ἐπὶ τοὺς ἐναντίους τὴν φάραγγα διαβὰς
following against the opponents the ravine having-crossed

ἤλαυνεν, Ἀρμένιοι δὲ ὀπίσω ὑποχωρήσαντες ἔστησαν,
rode Armenians and back having-withdrawn stood
καὶ ὁ Σίττας οὐκέτι ἐδίωκεν, ἀλλ᾽ αὐτοῦ ἔμενεν.
and — Sittas no-longer pursued but there remained
ἄφνω δέ τις τοῦ Ῥωμαίων στρατοῦ, Ἔρουλος γένος, 3.21
suddenly and someone of-the of-Romans army an-Erulian by-race
δίωξιν ἐπὶ τοὺς πολεμίους πεποιημένος, ἐνθένδε τε ξὺν
pursuit against the enemies having-made from-there and with
θυμῷ ἀπελαύνων, παρὰ τοὺς ἀμφὶ τὸν Σίτταν ἦλθεν.
passion riding-back to those about — Sittas came
ἐτύγχανε δὲ ὁ Σίττας ἐς τὸ ἔδαφος τὸ δόρυ ἐρείσας·
happened and — Sittas into the ground the spear having-fixed
ὃ δὴ ὁ τοῦ Ἐρούλου ἵππος ἐπιπεσὼν ξὺν πολλῇ
which indeed the of-the Erulian horse having-fallen-on with much
ῥύμῃ κατέαξε.
rush broke
τόν τε στρατηγὸν τοῦτο ἠνίασεν ἐς τὰ μάλιστα, καὶ αὐτὸν 3.22
the both general this grieved to the most and him
τῶν τις Ἀρμενίων ἰδὼν ἔγνω τε καὶ Σίτταν αὐτὸν
of-the some Armenians having-seen recognized both and Sittas him
τοῖς ἄλλοις ἅπασιν ἰσχυρίζετο εἶναι. ξυνέβαινε γάρ οἱ ἐν
to-the others all insisted to-be it-befell for to-him on
τῇ κεφαλῇ κράνος οὐκ εἶναι. διὸ δὴ τοὺς πολεμίους
the head helmet not to-be wherefore indeed the enemies
οὐκ ἔλαθε ξὺν ὀλίγοις τισὶν ἐνταῦθα ἥκων.
not he-escaped-notice-of with few some there having-come
Σίττας μὲν οὖν, ἐπεὶ ταῦτα τοῦ Ἀρμενίου λέγοντος 3.23
Sittas indeed then when these-things the Armenian saying
ἤκουσε καὶ τὸ δόρυ, ὥσπερ ἐρρήθη, οἱ ἀποκαυλισθὲν
heard and the spear as it-has-been-told for-him snapped

ἐς τὴν γῆν ἔκειτο, σπασάμενος τὸ ξίφος τὴν φάραγγα
on the ground lay having-drawn the sword the ravine
διαβαίνειν εὐθὺς ἐνεχείρησεν.
to-cross at-once attempted

3.24 οἱ δὲ πολέμιοι σπουδῇ πολλῇ ἐπ᾽ αὐτὸν ἤλαυνον, καί
the and enemies with-haste much against him rode and
τις αὐτὸν καταλαβὼν ἐν τῇ φάραγγι ξίφει ἐς ἄκραν
someone him having-overtaken in the ravine with-sword on top
κεφαλὴν ἔτυψε πληγῇ ἐγκαρσίᾳ. καὶ τὸ μὲν βρέγμα
head struck with-blow crosswise and the indeed crown
ὅλον ἀφείλετο, τοῦ δὲ ὀστέου ὁ σίδηρος οὐδαμῇ ἥψατο.
whole took-off of-the and bone the iron in-no-way touched

3.25 καὶ ὁ μὲν Σίττας ἔτι μᾶλλον ἢ πρότερον πρόσω
and — indeed Sittas still more than before forward
ἤλαυνεν, Ἀρταβάνης δὲ Ἰωάννου παῖς Ἀρσακίδης ὄπισθεν
rode Artabanes and of-John son an-Arsacid from-behind
ἐπιπεσὼν καὶ παίσας τῷ δόρατι ἔκτεινεν.
having-fallen-upon and having-struck with-the spear killed

3.26 οὕτω τε ὁ Σίττας ἐξ ἀνθρώπων ἠφάνιστο οὐδενὶ
thus and — Sittas from men vanished with-no
λόγῳ, ἀναξίως τῆς τε ἀρετῆς καὶ τῶν ἐς τοὺς
reason unworthily of-the both valor and of-the-things against the
πολεμίους ἀεὶ πεπραγμένων, ἀνὴρ τό τε σῶμα ἐς ἄγαν
enemies always done man the both body to excess
καλὸς γεγονὼς καὶ ἀγαθὸς τὰ πολέμια, στρατηγός τε
handsome having-been and good in-the warlike-things general and
ἄριστος τῶν καθ᾽ αὐτὸν οὐδενὸς ἥσσων.
best of-those in his-time than-no-one inferior

τινὲς δέ φασι τὸν Σίτταν οὐ πρὸς τοῦ Ἀρταβάνου 3.27
some and say — Sittas not by — Artabanes
ἀπολωλέναι, ἀλλὰ Σολόμωνα, λίαν ἐν Ἀρμενίοις ἀφανῆ
to-have-perished but Solomon very among Armenians obscure
ἄνδρα, τὸν ἄνθρωπον διαχρήσασθαι.
man the man to-have-made-away-with
Τελευτήσαντος δὲ Σίττα Βούζην βασιλεὺς ἐπὶ τοὺς 3.28
having-died and Sittas Bouzes emperor against the
Ἀρμενίους ἐκέλευσεν ἰέναι· ὃς ἐπεὶ ἄγχιστά που
Armenians bade to-go who when nearest somewhere
ἐγένετο, ἔπεμψε πρὸς αὐτοὺς βασιλεῖ τε καταλλάξειν
he-came sent to them to-emperor both to-reconcile
Ἀρμενίους ὑποσχόμενος ἅπαντας καὶ ὑπὲρ τούτων ἐς
Armenians having-promised all and about these-things into
λόγους οἱ ἐλθεῖν ἀξιῶν τῶν δοκίμων τινάς.
words with-him to-come asking of-the notable some
οἱ μὲν οὖν ἄλλοι οὔτε πιστεύειν τῷ Βούζῃ εἶχον οὔτε τοὺς 3.29
the indeed then others neither to-trust — Bouzes could nor the
λόγους ἐνδέχεσθαι τοὺς αὐτοῦ ἤθελον. ἦν δέ τις αὐτῷ
words to-accept the his wished there-was and some to-him
μάλιστα φίλος ἀνὴρ Ἀρσακίδης, Ἰωάννης ὄνομα, Ἀρταβάνου
most friend man an-Arsacid John by-name of-Artabanes
πατήρ, ὃς δὴ τῷ Βούζῃ τότε ἅτε φίλῳ θαρσήσας ξύν τε
father who indeed — Bouzes then as friend having-trusted with both
Βασσάκῃ τῷ κηδεστῇ καὶ ἄλλοις ὀλίγοις τισὶ παρ᾽ αὐτὸν
Bassaces the son-in-law and others few some to him
ἦλθεν· οἳ δὴ ἐν χωρίῳ γενόμενοί τε καὶ αὐλισθέντες,
came who indeed in place having-come both and having-bivouacked
ἔνθα τῷ Βούζῃ τῇ ὑστεραίᾳ ἐντυχεῖν ἔμελλον, ᾔσθοντο
where — Bouzes on-the next-day to-meet they-were-about perceived
ἐς κύκλωσιν πρὸς τοῦ Ῥωμαίων στρατοῦ ἥκοντες.
into encirclement by the of-Romans army having-come

3.30 πολλὰ μὲν οὖν τὸν Ἰωάννην Βασσάκης ὁ γαμβρὸς ἐλιπάρει
much indeed then — John Bassaces the son-in-law begged
δρασμοῦ ἔχεσθαι. ἐπεὶ δὲ αὐτὸν πείθειν οὐκ εἶχε, μόνον
to-flight to-take-hold when and him to-persuade not he-could alone
ἐνταῦθα καταλιπών, ξὺν τοῖς ἄλλοις ἅπασι λαθὼν
there having-left with the others all having-escaped-notice-of
τοὺς Ῥωμαίους ὁδῷ τῇ αὐτῇ ὀπίσω αὖθις ἀπήλαυνε.
the Romans by-road the same back again rode-away
3.31 Βούζης τε τὸν Ἰωάννην μόνον εὑρὼν ἔκτεινε, καὶ
Bouzes both — John alone having-found killed and
ἀπ᾽ αὐτοῦ οὔτε τινὰ ἐλπίδα ἐς Ῥωμαίους Ἀρμένιοι
from it neither any hope toward Romans Armenians
ξυμβάσεως πέρι τὸ λοιπὸν ἔχοντες οὔτε βασιλέα τῷ
of-agreement about the further having nor emperor in-the
πολέμῳ ὑπεραίρειν οἷοί τε ὄντες παρὰ τὸν Περσῶν βασιλέα
war to-overpower able — being to the of-Persians king
ἦλθον, Βασσάκου σφίσιν ἡγουμένου, δραστηρίου ἀνδρός.
came Bassaces them leading active man
3.32 ὧν τότε οἱ πρῶτοι Χοσρόῃ ἐς ὄψιν ἐλθόντες ἔλεξαν
of-whom then the first to-Chosroes into sight having-come spoke
τοιάδε “Εἰσὶ μὲν ἡμῶν πολλοὶ Ἀρσακίδαι, ὦ δέσποτα,
such-things are indeed of-us many Arsacids O master
ἐκείνου Ἀρσάκου ἀπόγονοι, ὃς δὴ οὔτε τῆς Πάρθων
of-that Arsaces descendants who indeed neither of-the of-Parthians
βασιλείας ἀλλότριος ἐτύγχανεν ὤν, ἡνίκα ὑπὸ Πάρθοις
kingdom foreign happened being when under Parthians
ἔκειτο τὰ Περσῶν πράγματα, καὶ βασιλεὺς ἐπιφανὴς
lay the of-Persians affairs and king illustrious
γέγονε τῶν καθ᾽ αὐτὸν οὐδενὸς ἧσσον.
became of-those in his-time than-no-one less

πάρεσμεν δὲ τανῦν εἰς ὑμᾶς ἅπαντες δοῦλοί τε 3.33
we-are-present and now to you all slaves both
καὶ δραπέται γεγενημένοι, οὐχ ἑκούσιοι μέντοι, ἀλλ᾽
and runaways having-become not willing however but
ἠναγκασμένοι ὡς μάλιστα, τῷ μὲν φαινομένῳ ὑπὸ
compelled as most by-the indeed apparent by
τῆς Ῥωμαίων ἀρχῆς, τῷ δὲ ἀληθεῖ λόγῳ ὑπὸ σῆς,
the of-Romans rule by-the and true account by your
ὦ βασιλεῦ, γνώμης.
O king will
εἴπερ ὁ τὴν ἰσχὺν τοῖς ἀδικεῖν βουλομένοις 3.34
if-indeed the-one the power to-those to-do-wrong wishing
διδοὺς αὐτὸς ἂν φέροιτο καὶ τὴν αἰτίαν τῶν ἔργων
giving himself — would-bear also the blame of-the deeds
δικαίως. εἰρήσεται δὲ μικρὸν ἄνωθεν ὅπως δὴ ἅπασι
justly it-will-be-told and a-little from-above so-that indeed all
παρακολουθεῖν τοῖς πεπραγμένοις δυνήσεσθε.
to-follow the done you-will-be-able
Ἀρσάκης γὰρ ὁ τῶν προγόνων τῶν ἡμετέρων βασιλεὺς 3.35
Arsaces for the of-the ancestors the our king
ὕστατος ἐξέστη τῆς ἀρχῆς τῆς αὐτοῦ Θεοδοσίῳ τῷ
last stood-down from-the rule the his to-Theodosius the
Ῥωμαίων αὐτοκράτορι ἑκών γε εἶναι, ἐφ᾽ ᾧ δὴ
of-Romans autocrat willing at-least to-be on which indeed
ἅπαντες οἱ κατὰ γένος αὐτῷ μέλλοντες πάντα τὸν
all those by race to-him about-to-be all the
αἰῶνα προσήκειν τά τε ἄλλα βιοτεύσουσι κατ᾽
age to-belong the-things both other will-live at
ἐξουσίαν καὶ φόρου ὑποτελεῖς οὐδαμῇ ἔσονται.
liberty and of-tribute liable in-no-way will-be

3.36 καὶ διεσωσάμεθα τὰ ξυγκείμενα, ἕως ὑμεῖς ταύτας
and we-preserved the-things agreed until you this
πεποίησθε τὰς διαβοήτους σπονδάς, ἃς δὴ κοινόν τινα
you-have-made the notorious treaty which indeed common some
ὄλεθρον καλῶν τις, οἰόμεθα, οὐκ ἂν ἁμάρτοι.
destruction calling anyone we-think not — would-err

3.37 φίλων τε γὰρ καὶ πολεμίων τὸ ἐντεῦθεν ἀφροντιστήσας,
of-friends both for and of-enemies the from-then having-ceased-to-care
ἅπαντα ξυνέχεέ τε καὶ ξυνετάραξε τὰ ἀνθρώπεια ὁ σός,
all confounded both and confused the human-affairs the your
ὦ βασιλεῦ, τῷ λόγῳ μὲν φίλος, ἔργῳ δὲ δυσμενής.
O king in-the word indeed friend in-deed and hostile

3.38 ὅπερ καὶ αὐτὸς οὐκ εἰς μακρὰν εἴσῃ, ἐπειδὰν τάχιστα
which-indeed also yourself not after long will-know when quickest
τοὺς ἑσπερίους οἷός τε ᾖ παντάπασι καταστρέψασθαι.
the westerners able — be-be altogether to-subdue
τί γὰρ τῶν πρότερον ἀπειρημένων οὐκ ἔπραξεν;
what for of-the-things before forbidden not did-he-do
ἢ τί οὐκ ἐκίνησε τῶν εὖ καθεστώτων;
or what not did-he-move of-the-things well established

3.39 οὐχ ἡμῖν μὲν φόρου ἀπαγωγὴν ἔταξεν οὐ πρότερον
not on-us indeed of-tribute payment did-he-impose not before
οὖσαν, καὶ Τζάνους τοὺς ὁμόρους ἡμῖν αὐτονόμους
existing and Tzani the neighbors to-us independent
ὄντας δεδούλωται, τῷ δὲ βασιλεῖ τῶν ἀθλίων Λαζῶν
being has-he-enslaved over-the and king of-the wretched Lazi
ἄρχοντα Ῥωμαῖον ἐπέστησε; πρᾶγμα οὔτε τῇ φύσει τῶν
commander Roman set thing neither to-the nature of-the
πραγμάτων ξυμβαῖνον οὔτε λόγῳ ῥᾴδιον ἑρμηνεύεσθαι.
affairs agreeing nor by-word easy to-be-expressed

οὐ Βοσπορίταις μὲν τοῖς Οὔννων κατηκόοις στρατηγοὺς 3.40
not to-Bosporites indeed the to-Huns subject generals
ἔπεμψε καὶ τὴν πόλιν προσεποιήσατο οὐδὲν αὐτῷ προσῆκον,
did-he-send and the city annex nothing to-him belonging
ὁμαιχμίαν δὲ πεποίηται πρὸς τὰς τῶν Αἰθιόπων ἀρχάς,
alliance and has-he-made with the of-the Ethiopians rulers
ὧν καὶ ἀνήκοοι τὸ παράπαν Ῥωμαῖοι ἐτύγχανον ὄντες;
of-whom even not-having-heard the at-all Romans happened being
ἀλλὰ καὶ Ὁμηρίτας τε καὶ θάλασσαν τὴν Ἐρυθρὰν 3.41
but also Homerites both and sea the Red
περιβέβληται καὶ τὸν φοινικῶνα προστίθησι τῇ Ῥωμαίων
he-has-embraced and the palm-grove adds to-the of-Romans
ἀρχῇ.
empire
ἀφίεμεν γὰρ λέγειν τὰ Λιβύων τε καὶ Ἰταλῶν πάθη. 3.42
we-let-go for to-tell the of-Libyans both and of-Italians sufferings
ἡ γῆ τὸν ἄνθρωπον οὐ χωρεῖ ξύμπασα· μικρόν ἐστιν
the earth the man not holds all small is
αὐτῷ πάντων ὁμοῦ τῶν ἀνθρώπων κρατεῖν.
to-him of-all together the men to-rule
ὁ δὲ καὶ τὸν αἰθέρα περισκοπεῖ καὶ τοὺς ὑπὲρ τὸν 3.43
he and also the aether looks-round and the beyond the
ὠκεανὸν διερευνᾶται μυχούς, ἄλλην αὑτῷ τινα οἰκουμένην
ocean searches recesses other for-himself some inhabited-world
περιποιεῖσθαι βουλόμενος.
to-acquire wishing
τί οὖν ἔτι, ὦ βασιλεῦ, μέλλεις; τί δὲ τὴν κάκιστα 3.44
why then still O king do-you-delay why and the most-wretchedly
ἀπολουμένην εἰρήνην αἰσχύνῃ, ὅπως δηλαδή σε ὑστάτην
about-to-perish peace do-you-respect so-that evidently you last
ποιήσηται βρῶσιν τῶν ἄλλων ἁπάντων;
he-may-make food of-the others all

3.45 εἰ μέν ἐστί σοι βουλομένῳ μαθεῖν ὁποῖός τις ἂν
if indeed it-is for-you wishing to-learn what-sort some —
Ἰουστινιανὸς ἐς τοὺς αὐτῷ εἴκοντας γένοιτο, ἐγγύθεν
Justinian toward those to-him yielding might-become near
σοι τὸ παράδειγμα παρ᾽ ἡμῶν τε αὐτῶν ἐστι καὶ τῶν
for-you the example from us both selves is and of-the
ταλαιπώρων Λαζῶν·
wretched Lazi

3.46 εἰ δέ, ὅπως ποτὲ εἴωθε τοῖς τε ἀγνῶσι καὶ οὐδ᾽
if and how ever he-is-accustomed the both unknown and not-even
ὁτιοῦν ἠδικηκόσι χρῆσθαι, Βανδίλους τε καὶ Γότθους
anything-whatever having-wronged to-treat Vandals both and Goths
καὶ Μαυρουσίους διαλογίζου.
and Moors consider

3.47 τό τε δὴ κεφάλαιον οὔπω λέλεκται. οὐκ Ἀλαμούνδαρον
the and indeed chief-point not-yet has-been-told not Alamundaras
μὲν ἐν σπονδαῖς τὸν σόν, ὦ κράτιστε βασιλεῦ, δοῦλον
indeed in treaty the your O mightiest king slave
ἀπάτῃ τε περιελθεῖν καὶ βασιλείας ἀποστῆσαι τῆς σῆς
by-deceit both to-outwit and from-kingship to-detach the your
ἔργον πεποίηται, Οὔννους δὲ τοὺς οὐδαμόθεν αὐτῷ
work has-be-made Huns and the from-nowhere to-him
γνωρίμους ἐπὶ τοῖς σοῖς ἔναγχος ἑταιρίζεσθαι πράγμασιν
known against the your lately to-win-over affairs
ἐν σπουδῇ ἔσχε; καίτοι πρᾶξις ἀτοπωτέρα ταύτης οὐ
in earnest did-he-hold and-yet deed stranger than-this not
γέγονεν ἐκ τοῦ παντὸς χρόνου.
has-been from the all time

3.48 ἐπειδὴ γὰρ ᾔσθετο, οἶμαι, εἰς πέρας αὐτῷ ὅσον
since for he-perceived I-think to end for-him as-much-as
οὔπω ἀφίξεσθαι τὴν τῶν ἑσπερίων καταστροφήν, τοὺς
not-yet to-come the of-the westerners subjugation the

ἑῴους ἤδη μετελθεῖν ὑμᾶς ἐγκεχείρηκεν, ἐπεὶ καὶ μόνον
eastern already to-come-after you he-has-undertaken since also alone
ground not needful he-pulled-down

πρὸς ταῦτα ὁ Χοσρόης ἀπεκρίνατο ὧδε "Τούτων 7.20
to these-things — Chosroes answered thus of-these
μέντοι, ὦ ἑταῖρε, αὐτὸς αἴτιος, ἐνταῦθα ἀναγκάσας ἡμᾶς
however O comrade yourself responsible here having-compelled us
διατρῖψαι· οὐ γὰρ ἐν τῷ τεταγμένῳ καιρῷ, ἀλλὰ κατὰ
to-stay not for in the appointed time but by
πολὺ τούτου γε ὑστερήσας τανῦν ἀφῖξαι.
much this at-least having-come-too-late now you-have-arrived
τῶν δὲ σῶν πολιτῶν τὴν ἀτοπίαν τί ἄν τις ἐπὶ 7.21
of-the and your citizens the absurdity why — anyone at
πλεῖστον, ὦ βέλτιστε, μακρολογοίη; οἵ γε τακτὸν
most O best might-speak-at-length who at-least fixed
ἡμῖν ὡμολογηκότες ἀργύριον δώσειν ὑπὲρ τῆς σφῶν
to-us having-agreed silver to-give for the their
αὐτῶν σωτηρίας, οὔπω καὶ νῦν ἐπιτελεῖν οἴονται δεῖν
own safety not-yet even now to-carry-out think to-be-needful
τὰ ξυγκείμενα, ἀλλ' ἀνέδην οὕτω χωρίου ἰσχύϊ
the-things agreed but unrestrainedly so of-place in-strength
θαρσήσαντες περιορῶσιν ἡμᾶς ὡς μάλιστα ἠναγκασμένους
trusting overlook us as most compelled
ἐς φρουρίου πολιορκίαν, ὡς ὁρᾷς δήπου, καθίστασθαι.
into of-fortress siege as you-see doubtless to-be-set
οὕς γε δὴ ἔγωγε ξὺν θεοῖς ἐλπίδα ἔχω ὀλίγῳ 7.22
whom at-least indeed I with gods hope I-have a-little
ὕστερον τίσασθαι, καὶ Περσῶν τῶν μοι οὐ δέον πρὸ
later to-punish and for-Persians the to-me not needful before
τοῦδε τοῦ τείχους ἀπολωλότων τὴν κόλασιν ἐς τοὺς
this the wall having-perished the punishment on the
αἰτίους ἐπιτελέσειν."
guilty to-carry-out

7.23 ὁ μὲν Χοσρόης τοσαῦτα εἶπεν, ὁ Μέγας δὲ ἀμείβεται
— indeed Chosroes so-much said — Megas and answers
ὧδε “Εἰ μέν, ὅτι βασιλεὺς ἀνθρώποις οἰκτροῖς τε καὶ
thus if indeed that king to-men wretched both and
ἀτιμοτάτοις ταῦτα ἐπικαλεῖς, σκοπήσειεν ἄν τις, ἀνάγκη
most-dishonored these-things you-charge should-consider — anyone necessity
μηδὲν ἀντιλέγοντα τοῖς εἰρημένοις ὁμολογεῖν· τῇ γὰρ
nothing gainsaying to-the things-said to-agree to-the for
ἐξουσίᾳ τῇ ἄλλῃ καὶ τὸ τῷ λόγῳ κρατεῖν ἕπεσθαι πέφυκεν·
power the other also the in-the word to-prevail to-follow is-by-nature
7.24 ἢν δέ τῳ ἐξῇ τἄλλα ἀποσεισαμένῳ τὸν ἀληθῆ
if and to-anyone it-be-possible the-rest having-shaken-off the true
λόγον ἑλέσθαι, οὐδὲν ἂν ἡμῖν, ὦ βασιλεῦ, δικαίως
word to-choose nothing — us O king justly
ἐπικαλεῖν ἔχοις· ὅπως δὲ ἅπαντα ἀκούσῃ πρᾴως.
to-charge you-could so-that and all-things you-may-hear gently
7.25 ἐγὼ μὲν γάρ, ἐπειδὴ ἅπερ Ἀντιοχεῦσιν ἐπήγγελλες,
I indeed for when what-things to-Antiochenes you-announced
δηλώσων ἐστάλην, ἑβδομαῖός σοι ἐς ὄψιν ἥκων
about-to-show I-was-sent on-the-seventh-day to-you into sight coming
(οὗ τί ἂν γενέσθαι δύναιτο θᾶσσον;) ταῦτά σοι
than-which what — to-come-about could faster these-things by-you
ἐξειργασμένα ἐς πατρίδα τὴν ἐμὴν εὗρον.
having-been-done in fatherland the my I-found
7.26 οἱ δὲ δὴ πάντων ἤδη τῶν τιμιωτάτων ἐκστάντες,
they and indeed of-all already the most-precious having-given-up
εἶτα ἐς τὸν περὶ ψυχῆς ἀγῶνα καθίστανται μόνον,
then into the about life contest are-set only
κρείσσους, οἶμαι, γεγενημένοι ἢ σοί τι τὸ λοιπὸν
stronger I-think having-become than to-you anything the further
τῶν χρημάτων εἰσφέρειν.
of-the money to-pay

τὸ γὰρ ἐκτιννύναι τι τῶν οὐ παρόντων ἀνθρώπῳ 7.27
the for to-pay anything of-the-things not present for-man
ἂν οὐδεμία μηχανὴ γένοιτο.
— no device there-would-be
πάλαι δὲ τοῖς ἀνθρώποις εὖ τε καὶ καλῶς διώρισται 7.28
of-old and by-the men well both and finely have-been-defined
τὰ τῶν πραγμάτων ὀνόματα· ἐν οἷς καὶ τόδε ἐστίν,
the of-the things names in which also this is
ἀγνωμοσύνης κεχωρίσθαι ἀσθένειαν.
from-ill-will to-be-separated weakness
ἡ μὲν γὰρ τρόπου ἀκολασίᾳ ἐς τὸ ἀντιτείνειν 7.29
the-one indeed for of-character by-licentiousness to the resisting
χωροῦσα μισεῖσθαι, ὡς τὸ εἰκός, εἴωθεν, ἡ δὲ
going to-be-hated as the likely is-accustomed the-other and
τῷ τῆς ὑπουργίας ἀδυνάτῳ ἐς ταὐτὸ τοῦτο ἐκφερομένη
by-the of-the service impossibility to the-same this carried
ἐλεεῖσθαι ἱκανῶς πέφυκεν.
to-be-pitied sufficiently is-by-nature
ἔασον τοίνυν ἡμᾶς ἅπαντα, ὦ βασιλεῦ, κληρωσαμένους 7.30
allow therefore us all-things O king having-drawn-by-lot
τὰ χείριστα τοῦτο γοῦν φέρεσθαι παραμύθιον, τὸ
the worst-things this at-any-rate to-carry-off consolation the
μὴ δοκεῖν τῶν ξυμπεπτωκότων ἡμῖν αὐτοὺς αἰτίους
not to-seem of-the-things having-befallen to-us ourselves responsible
γενέσθαι.
to-have-been
καὶ χρήματα μέν σοι, ὅσα λαβὼν ἔχεις, διαρκεῖν 7.31
and money indeed for-you as-much-as having-received you-have to-suffice
οἴου, μὴ τῷ σῷ ταῦτα σταθμώμενος ἀξιώματι, ἀλλὰ
think not by-the your these weighing rank but
τὴν Βεροιαίων σκοπῶν δύναμιν.
the of-Beroeans considering power

7.32 περαιτέρω δὲ ἡμᾶς βιάζου μηδέν, μή ποτε δόξῃς οἷς
further and us force nothing lest ever you-seem in-what
ἐγκεχείρηκας ἀδύνατος εἶναι· τὸ γὰρ ὑπερβάλλον ἀεὶ
you-have-undertaken powerless to-be the for exceeding always
τῷ ἀμηχάνῳ τετίμηται· τὸ δὲ μὴ τοῖς ἀδυνάτοις
by-the impossible is-valued the and not the impossible-things
ἐγχειρεῖν κράτιστον.
to-attempt best

7.33 ταῦτα μὲν οὖν μοι ἀπολελογήσθω ἐν τῷ παραυτίκα
these-things indeed then by-me let-it-have-been-pleaded in the instant
ὑπὲρ ἀνδρῶν τῶνδε. ἦν δέ γε τοῖς ταλαιπώροις
on-behalf-of men these if and at-least with-the wretched-ones
ξυγγενέσθαι δυνατὸς εἴην, ἔχοιμι ἄν τι καὶ ἄλλο
to-meet able I-should-be I-might-have — something also other
τῶν νῦν με λεληθότων εἰπεῖν."
of-the-things now me having-escaped to-say

7.34 τοσαῦτα τὸν Μέγαν εἰπόντα ὁ Χοσρόης ἐς τὴν
so-much — Megas having-said — Chosroes into the
ἀκρόπολιν ἀφῆκεν ἰέναι. ὃς δὴ ἐνταῦθα γενόμενος καὶ
acropolis let to-go who indeed there having-been and
τὰ ξυμπεσόντα ἀμφὶ τῇ πηγῇ μαθὼν ἅπαντα,
the-things having-befallen about the spring having-learned all
δεδακρυμένος τε παρὰ Χοσρόην αὖθις ἀφίκετο καὶ πρηνὴς
in-tears both to Chosroes again came and prone
κείμενος οὐδὲν μὲν Βεροιαίοις ἰσχυρίζετο ἀπολελεῖφθαι
lying nothing indeed for-Beroeans he-insisted to-have-been-left
τῶν πάντων χρημάτων, μόνα δέ οἱ τῶν ἀνθρώπων
of-the all money only and to-him of-the men
ἱκέτευε χαριεῖσθαι τὰ σώματα.
besought to-grant the bodies

ταῖς τε τοῦ ἀνδρὸς ὀλοφύρσεσιν ὁ Χοσρόης ἠγμένος 7.35
by-the both of-the man lamentations — Chosroes led
τὴν δέησιν ἐπιτελῆ ἐποιεῖτο, καὶ διομοσάμενος ἅπασι
the request fulfilled made and having-sworn to-all
τοῖς ἐν ἀκροπόλει τὰ πιστὰ ἔδωκε.
those in acropolis the pledges gave
Βεροιαῖοι δὲ παρὰ τοσοῦτον κινδύνου ἐλθόντες, ἀπέλιπόν 7.36
Beroeans and to so-much of-danger having-come left
τε τὴν ἀκρόπολιν ἀπαθεῖς κακῶν καὶ ἀπιόντες ᾤχοντο
both the acropolis untouched by-evils and departing went-off
ὡς ἕκαστός πη ἐβούλετο.
as each somehow wished
τῶν δὲ στρατιωτῶν ὀλίγοι μὲν αὐτοῖς τινες εἵποντο, οἱ 7.37
of-the and soldiers few indeed with-them some followed the
δὲ πλεῖστοι ἐθελούσιοι παρὰ Χοσρόην αὐτόμολοι ἦλθον,
and most willing to Chosroes deserters came
ἐπικαλοῦντες ὅτι δὴ τὰς συντάξεις χρόνου μακροῦ
alleging that indeed the pay of-time long
σφίσι τὸ δημόσιον ὤφλε, καὶ ξὺν αὐτῷ ὕστερον ἐς τὰ
to-them the treasury owed and with him later to the
Περσῶν ἤθη ἐχώρησαν.
of-Persians haunts went

Theoctistus and Molatzes bring six thousand men, and the Antiochenes mock Chosroes. The beams between the towers break under the defenders; the soldiers flee, and the city's youth fight on until overwhelmed. Chosroes, whose duplicity Procopius sketches, blames the Antiochenes for their slaughter, strips the church, and burns the rest.

8.1 Χοσρόης δέ (καὶ γάρ οἱ Μέγας χρήματα ἔφασκεν
Chosroes and and for to-him Megas money said
οὐδαμῇ πεπεικέναι Ἀντιοχέας φέρειν) παντὶ τῷ στρατῷ
in-no-way to-have-persuaded Antiochenes to-pay with-all the army
ἐπ᾽ αὐτοὺς ᾔει.
against them went

8.2 Ἀντιοχέων δέ τινες μὲν ἐνθένδε ξὺν τοῖς χρήμασιν
of-Antiochenes and some indeed from-there with the money
ἐξαναστάντες ἔφευγον ὡς ἕκαστός πη ἐδύνατο. ταὐτὸ
having-departed fled as each somehow could the-same
δὲ τοῦτο διενοοῦντο καὶ οἱ λοιποὶ ξύμπαντες, εἰ μὴ
and this intended also the rest all if not
μεταξὺ ἥκοντες οἱ τῶν ἐν Λιβάνῳ στρατιωτῶν ἄρχοντες,
meanwhile having-come the of-the in Lebanon soldiers commanders
Θεόκτιστός τε καὶ Μολάτζης, ξὺν ἑξακισχιλίοις ἀνδράσιν
Theoctistus both and Molatzes with six-thousand men
ἐλπίσι τε αὐτοὺς ἐπιρρώσαντες διεκώλυσαν.
with-hopes and them having-strengthened prevented

8.3 οὗ δὴ οὐ πολλῷ ὕστερον καὶ τὸ Περσῶν στράτευμα
where indeed not much later also the of-Persians army
ἦλθεν. ἐνταῦθά τε διεσκηνημένοι ἐστρατοπεδεύσαντο
came there and having-pitched-tents encamped

ἅπαντες πρός τε Ὀρόντῃ τῷ ποταμῷ καὶ αὐτοῦ οὐ
all by both Orontes the river and of-it not
πολλῷ ἄποθεν.
much off
Χοσρόης τε Παῦλον παρὰ τὸν περίβολον στείλας τοὺς 8.4
Chosroes both Paulus to the circuit-wall having-sent the
Ἀντιοχέας χρήματα ᾔτει, δέκα χρυσοῦ κεντηναρίων
Antiochenes money asked for-ten of-gold centenaria
ἀπαλλαγήσεσθαι ἐνθένδε, ἔνδηλός τε ἦν καὶ τούτων
to-depart from-there evident and he-was even than-these
ἐλάσσω ἐπὶ τῇ ἀναχωρήσει ληψόμενος.
less on the withdrawal about-to-take
καὶ τότε μὲν ἥκοντες παρὰ τὸν Χοσρόην οἱ πρέσβεις, 8.5
and then indeed having-come to — Chosroes the envoys
εἰπόντες τε ἀμφὶ τῇ διαλύσει τῆς εἰρήνης πολλὰ καὶ
having-spoken both about the dissolution of-the peace much and
πρὸς ἐκείνου ἀκούσαντες ἀνεχώρησαν.
from him having-heard withdrew
τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ τῶν Ἀντιοχέων ὁ δῆμος (εἰσὶ 8.6
on-the and following day of-the Antiochenes the people are
γὰρ οὐ κατεσπουδασμένοι, ἀλλὰ γελοίοις τε καὶ ἀταξίᾳ
for not serious but to-jests both and disorder
ἱκανῶς ἔχονται) πολλὰ ἐς τὸν Χοσρόην ὕβριζόν τε
sufficiently are-given much toward — Chosroes insulted both
ἀπὸ τῶν ἐπάλξεων καὶ ξὺν γέλωτι ἀκόσμῳ ἐτώθαζον·
from the battlements and with laughter disorderly mocked
καὶ Παῦλον τοῦ περιβόλου ἐγγὺς ἥκοντα παραινοῦντά 8.7
and Paulus to-the circuit-wall near coming advising
τε χρημάτων ὀλίγων σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν
and for-money little them both selves and the city
ὠνεῖσθαι, ὀλίγου ἐδέησαν τοξεύσαντες κτεῖναι, εἰ μὴ
to-buy by-little lacked having-shot to-kill if not

προϊδὼν ἐφυλάξατο. διὸ δὴ ζέων τῷ θυμῷ ὁ
having-foreseen he-guarded-himself wherefore indeed boiling with-the anger —
Χοσρόης τειχομαχεῖν ἔγνω.
Chosroes to-storm-the-wall decided

8.8 Τῇ οὖν ὑστεραίᾳ ἐπαγαγὼν ἅπαντας Πέρσας ἐπὶ τὸ
on-the then next-day having-led-up all Persians against the
τεῖχος ἄλλους μὲν ἄλλῃ προσβάλλειν τοῦ ποταμοῦ
wall others indeed elsewhere to-assault of-the river
ἐκέλευεν, αὐτὸς δὲ τοὺς πλείστους τε καὶ ἀρίστους
he-bade he-himself and the most both and best
ἔχων κατὰ τὴν ἄκραν προσέβαλλε. ταύτῃ γάρ, ὥς μοι
having against the summit assaulted there for as by-me
ἔμπροσθεν ἐρρήθη, ἐπιμαχώτατος ὁ περίβολος ἦν.
before it-has-been-told most-assailable the circuit-wall was

8.9 ἐνταῦθα Ῥωμαῖοι (στενοτάτη γὰρ ἡ οἰκοδομία ἐτύγχανεν
there Romans most-narrow for the building happened
οὖσα, ἐφ' ἧς ἱστάμενοι πολεμεῖν ἔμελλον) ἐπενόησαν
being on which standing to-fight they-were-about devised
τάδε. δοκοὺς μακρὰς ἐς ἀλλήλους ξυνδέοντες μεταξὺ
these-things beams long to one-another binding between
τῶν πύργων ἐκρέμων, οὕτω τε πολλῷ εὐρυτέρας δὴ
the towers they-hung thus and much wider indeed
ταύτας τὰς χώρας ἐποίουν, ὅπως ἔτι πλείους ἐνθένδε
these the spaces made so-that still more from-there
ἀμύνεσθαι τοὺς τειχομαχοῦντας οἷοί τε ὦσιν.
to-repel those storming-the-wall able — they-might-be

8.10 οἱ μὲν οὖν Πέρσαι ἰσχυρότατα ἐγκείμενοι πανταχόθεν
the indeed then Persians most-mightily pressing from-all-sides
τὰ τοξεύματα συχνὰ ἔπεμπον, ἄλλως τε καὶ κατὰ τὴν
the arrows frequent sent especially — also at the
τῆς ἄκρας ὑπερβολήν.
of-the summit crossing

οἱ δὲ Ῥωμαῖοι ἠμύνοντο δυνάμει πάσῃ, οὐ στρατιῶται 8.11
the and Romans defended-themselves with-power all not soldiers
μόνον, ἀλλὰ καὶ τοῦ δήμου εὐτολμότατοι νεανίαι πολλοί.
only but also of-the people most-daring young-men many
ἐδόκουν δὲ οἱ τειχομαχοῦντες ἐνταῦθα ἐς τὴν μάχην ἐκ 8.12
seemed and those storming-the-wall there into the battle from
τοῦ ἀντιπάλου τοῖς πολεμίοις καθίστασθαι. ἡ γὰρ πέτρα,
the equal-footing with-the enemies to-be-set the for rock
εὐρεῖά τις καὶ ὑψηλὴ οὖσα καὶ ὥσπερ ἀντιτεταγμένη τῷ
broad some and high being and as-if arrayed-against the
περιβόλῳ καθάπερ ἐφ' ὁμαλοῦ εἶναι τὴν ξυμβολὴν ἐποίει.
circuit-wall as on level to-be the engagement made
καὶ εἰ μέν τις ἐθάρσησε τοῦ Ῥωμαίων στρατοῦ ξὺν 8.13
and if indeed anyone had-dared of-the of-Romans army with
τριακοσίοις ἔξω τε γενέσθαι τοῦ περιβόλου καὶ τὴν
three-hundred outside both to-get of-the circuit-wall and the
πέτραν ἐκείνην προτερήσας καταλαβεῖν ἐνθένδε τε τοὺς
rock that having-anticipated to-seize from-there and the
ἐπιόντας ἀμύνασθαι, οὐκ ἄν ποτε, οἶμαι, πρὸς τῶν
attackers to-repel not — ever I-think by the
πολεμίων ἐς κίνδυνόν τινα ἡ πόλις ἦλθεν.
enemies into danger any the city would-have-come
οὐ γὰρ εἶχον ὅθεν ὁρμώμενοι τειχομαχοῖεν οἱ βάρβαροι, 8.14
not for they-had whence setting-out they-could-storm-the-wall the barbarians
κατὰ κορυφὴν ἔκ τε τῆς πέτρας καὶ ἀπὸ τοῦ τείχους
at top from both the rock and from the wall
βαλλόμενοι· νῦν δὲ (καὶ γὰρ ἔδει Ἀντιοχέας τούτῳ τῷ
being-shot now and and for it-was-needful Antiochenes by-this the
Μήδων στρατῷ ἀπολέσθαι) οὐδενὶ τοῦτο ἐς ἔννοιαν ἦλθε.
of-Medes army to-perish to-no-one this into thought came

8.15 τῶν μὲν οὖν Περσῶν, ἅτε Χοσρόου παρόντος σφίσι καὶ
of-the indeed then Persians as Chosroes being-present for-them and
κραυγῇ ἐγκελευομένου μεγάλῃ, ὑπὲρ δύναμιν βιαζομένων
with-shout urging great beyond power forcing
καὶ οὐδένα τοῖς ἐναντίοις ἐνδιδόντων καιρόν, ὥστε
and no to-the opponents granting opportunity so-that
διασκοπεῖσθαι ἢ φυλάσσεσθαι τὰς τοξευμάτων βολάς,
to-look-about or to-guard-against the of-arrows shots
τῶν δὲ Ῥωμαίων ἔτι μᾶλλον πλήθει τε πολλῷ καὶ
of-the and Romans still more with-number both much and
θορύβῳ ἀμυνομένων, οὐκ ἐνεγκοῦσαι τὸ ἄχθος αἱ σχοῖνοι,
uproar defending not having-borne the weight the ropes
αἷς αἱ δοκοὶ ξυνδεδέατο, διερράγησαν ἐκ τοῦ αἰφνιδίου
by-which the beams had-been-bound broke from the sudden
καὶ ξὺν ταῖς δοκοῖς ἅπαντες ὅσοι αὐταῖς ἐφεστήκεσαν
and with the beams all as-many-as on-them had-stood
ἐς τὸ ἔδαφος ἐξέπεσον πατάγῳ πολλῷ.
into the ground fell with-crash much

8.16 οὗ δὴ αἰσθόμενοι καὶ ἄλλοι Ῥωμαίων, οἳ ἐκ
which indeed having-perceived also others of-Romans who from
πύργων τῶν ἐχομένων ἐμάχοντο, καὶ ξυμβάλλειν μὲν
towers the adjoining were-fighting and to-guess indeed
τὸ γεγονὸς οὐδαμῇ ἔχοντες, διεφθάρθαι δὲ ταύτῃ
the having-happened in-no-way being-able to-have-been-destroyed and there
τὸ τεῖχος οἰόμενοι ἐς φυγὴν ὥρμηντο.
the wall thinking to flight rushed

8.17 τοῦ μὲν οὖν δήμου νεανίαι πολλοί, ὅσοι τὰ πρότερα
of-the indeed then people young-men many as-many-as the former-times
πρός γε ἀλλήλους στασιάζειν ἐν τοῖς ἱπποδρομίοις
against at-least one-another to-riot in the horse-races
εἰώθεσαν, ἐπειδὴ ἀπὸ τοῦ περιβόλου κατέβησαν, οὐδαμῇ
were-accustomed when from the circuit-wall they-came-down in-no-way

ἔφευγον, ἀλλ᾽ αὐτοῦ ἔμενον, οἱ δὲ στρατιῶται ξύν τε
fled but there remained the and soldiers with both
Θεοκτίστῳ καὶ Μολάτζῃ εὐθὺς ἐπὶ τοὺς ἵππους ἀναθορόντες,
Theoctistus and Molatzes at-once onto the horses having-leapt
οἳ δὴ ἐνταῦθά πη παρεσκευασμένοι ἐτύγχανον, ἐπὶ
which indeed there somehow prepared happened to
τὰς πύλας ἀπήλαυνον, Βούζην αὐτοῖς ἐπιθρυλοῦντες ξὺν
the gates rode-away Bouzes to-them spreading-the-rumor with
στρατῷ ἥκειν, ἐθέλειν τε κατὰ τάχος δέξασθαι μὲν αὐτοὺς
army to-come to-wish and with speed to-receive indeed them
τῇ πόλει, ξὺν αὐτοῖς δὲ τοὺς πολεμίους ἀμύνασθαι.
in-the city with them and the enemies to-repel
ἐνταῦθα τῶν Ἀντιοχέων πολλοὶ μὲν ἄνδρες, γυναῖκες 8.18
there of-the Antiochenes many indeed men women
δὲ πᾶσαι ξὺν τοῖς παιδίοις ἐπὶ τὰς πύλας δρόμῳ
and all with the children to the gates at-a-run
πολλῷ ᾔεσαν· εἶτα πρὸς τῶν ἵππων ὠθούμενοι ἅτε ἐν
much went then by the horses being-pushed as in
στενοχωρίᾳ πολλῇ ἔπιπτον.
narrowness much they-fell
οἱ δὲ στρατιῶται τῶν ἐν ποσὶν οὐδενὸς τὸ παράπαν 8.19
the and soldiers of-those at feet no-one the at-all
φειδόμενοι ἔτι μᾶλλον ἢ πρότερον ὕπερθεν τῶν κειμένων
sparing still more than before over the lying
ἅπαντες ἤλαυνον, γέγονέ τε φόνος ἐνταῦθα πολὺς
all rode came-about and slaughter there great
ἄλλως τε καὶ κατὰ τὰς πύλας αὐτάς.
especially — also at the gates themselves
Οἱ δὲ Πέρσαι, οὐδενὸς σφίσιν ἀντιστατοῦντος, κλίμακας 8.20
the and Persians no-one them opposing ladders
ἐπιθέντες ἐπὶ τὸ τεῖχος οὐδενὶ πόνῳ ἀνέβαινον. ἔν
having-set against the wall with-no toil went-up in

τε ταῖς ἐπάλξεσι κατὰ τάχος γενόμενοι χρόνον τινὰ
and the battlements with speed having-got time some
καταβαίνειν οὐδαμῇ ἤθελον, ἀλλὰ διασκοπουμένοις τε καὶ
to-come-down in-no-way wished but to-ones-looking-about both and
ἀπορουμένοις ἐῴκεσαν, ἐμοὶ μὲν δοκεῖ, προλοχίζεσθαι τὰς
to-ones-at-a-loss they-seemed to-me indeed it-seems to-be-ambushed the
δυσχωρίας ἐνέδραις τισὶ τῶν πολεμίων ὑποτοπάζοντες.
rough-places with-ambushes some by-the enemies suspecting

8.21 τὰ γὰρ ἐντὸς τοῦ περιβόλου ἀπὸ τῆς ἄκρας εὐθὺς
the-parts for within the circuit-wall from the summit straight
κατιόντι ἀοίκητος χώρα ἐπὶ πλεῖστόν ἐστι. πέτραι τε
to-one-going-down uninhabited land over most is rocks both
λίαν ὑψηλαὶ ἀνέχουσιν ἐνταῦθα καὶ τόποι κρημνώδεις.
very high rise there and places precipitous

8.22 ἔνιοι δέ φασι Χοσρόου γνώμῃ γεγονέναι τὴν μέλλησιν
some and say of-Chosroes by-will to-have-come-about the delay
Πέρσαις.
for-Persians

8.23 ἐπειδὴ γὰρ τήν τε δυσχωρίαν κατενόησε καὶ τοὺς
when for the both rough-ground he-observed and the
στρατιώτας φεύγοντας εἶδεν, ἔδεισε μή τινι ἀνάγκῃ ἐκ τῆς
soldiers fleeing saw he-feared lest by-some necessity from the
ὑπαγωγῆς ἀναστρέψαντες πράγματα σφίσι παράσχωνται,
retreat having-turned-back troubles to-them they-should-cause
ἐμπόδιοί τε γένωνται, ἂν οὕτω τύχοι, πόλιν ἑλεῖν
hindrances and should-become — thus it-might-happen city to-take
ἀρχαίαν τε καὶ λόγου ἀξίαν καὶ πρώτην Ῥωμαίοις οὖσαν
ancient both and of-word worthy and first for-Romans being
τῶν κατὰ τὴν ἕω πασῶν πόλεων, πλούτῳ τε καὶ μεγέθει
of-the in the east all cities in-wealth both and in-size
καὶ πολυανθρωπίᾳ καὶ κάλλει καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ.
and in-populousness and in-beauty and in-the other prosperity

οὗ δή, περὶ ἐλάσσονος τἄλλα ποιούμενος ἅπαντα, 8.24
than-which indeed of less the-rest making all-things
ἤθελε τοῖς Ῥωμαίων στρατιώταις καιρὸν ἐνδιδόναι, ὥστε
he-wished to-the of-Romans soldiers opportunity to-grant so-that
κατ᾽ ἐξουσίαν τῇ φυγῇ χρῆσθαι. διὸ δὴ καὶ ταῖς
at will the flight to-use wherefore indeed also with-the
χερσὶ τοῖς φεύγουσι Πέρσαι σημαίνοντες ἐνεκελεύοντο
hands to-the fleeing Persians signaling urged
φεύγειν ὡς τάχιστα.
to-flee as quickest
οἱ μὲν οὖν στρατιῶται Ῥωμαίων ξὺν τοῖς ἄρχουσιν 8.25
the indeed then soldiers of-Romans with the commanders
ἀπιόντες ᾤχοντο ἅπαντες διὰ πύλης, ἣ ἐπὶ Δάφνην
departing went-off all through gate which to Daphne
ἄγει τὸ τῶν Ἀντιοχέων προάστειον.
leads the of-the Antiochenes suburb
ταύτης γὰρ μόνης, τῶν ἄλλων κατειλημμένων, ἀπέσχοντο 8.26
from-this for alone of-the others having-been-seized kept-away
Πέρσαι· τοῦ δὲ δήμου ὀλίγοι τινὲς ξὺν τοῖς στρατιώταις
Persians of-the and people few some with the soldiers
διέφυγον.
escaped
ἐπεὶ δὲ Πέρσαι ἅπαντας τοὺς Ῥωμαίων στρατιώτας 8.27
when and Persians all the of-Romans soldiers
εἶδον πρόσω χωρήσαντας, καταβάντες ἀπὸ τῆς ἄκρας
saw forward having-gone having-come-down from the summit
ἐν μέσῃ πόλει ἐγένοντο.
in middle city they-came
ἐνταῦθα δὲ αὐτοῖς τῶν Ἀντιοχέων νεανίαι πολλοὶ ἐς 8.28
there and with-them of-the Antiochenes young-men many into
χεῖρας ἐλθόντες τὰ πρῶτα καθυπέρτεροι ἔδοξαν τῇ
hands having-come the first superior seemed in-the

ξυμβολῇ εἶναι. ἦσαν δὲ αὐτῶν τινες μὲν ὁπλῖται, οἱ
engagement to-be were and of-them some indeed armed the
δὲ πλεῖστοι γυμνοὶ καὶ λίθων βολαῖς χρώμενοι μόναις.
and most unarmed and of-stones throws using only
8.29 ὠσάμενοι δὲ τοὺς πολεμίους ἐπαιάνιζόν τε καὶ
having-pushed and the enemies they-raised-the-paean both and
Ἰουστινιανὸν βασιλέα καλλίνικον, ἅτε νενικηκότες,
Justinian emperor gloriously-victorious as having-conquered
ἀνέκραγον.
cried-out
8.30 Ἐν τούτῳ δὲ Χοσρόης ἐν πύργῳ τῷ κατὰ τὴν
in this and Chosroes in tower the at the
ἄκραν καθήμενος τοὺς πρέσβεις ἐθέλων τι εἰπεῖν
summit sitting the envoys wishing something to-say
μετεπέμψατο. καὶ αὐτὸν τῶν τις ἀρχόντων, ὁ
summoned and him of-the some commanders —
Ζαβεργάνης, οἰόμενος ξυμβάσεως πέρι βούλεσθαι τοῖς
Zabergan thinking agreement about to-wish with-the
πρέσβεσιν ἐς λόγους ἰέναι, ἐς ὄψιν τε τῷ βασιλεῖ κατὰ
envoys into words to-go into sight both to-the king with
τάχος ἦλθε καὶ ἔλεξεν ὧδε "Οὐχὶ ταὐτά μοι δοκεῖς, ὦ
speed came and spoke thus not the-same to-me you-seem O
δέσποτα, Ῥωμαίοις ἀμφὶ τῇ τούτων σωτηρίᾳ γινώσκειν.
master with-Romans about the of-these safety to-judge
8.31 οἱ μὲν γὰρ καὶ πρὸ τῶν κινδύνων ὑβρίζουσιν ἐς
they indeed for even before the dangers insult toward
τὴν βασιλείαν τὴν σὴν καὶ ἡσσημένοι τολμῶσί τε τὰ
the kingship the your and defeated dare both the
ἀμήχανα καὶ δρῶσι τοὺς Πέρσας ἀνήκεστα ἔργα, ὥσπερ
impossible-things and do to-the Persians incurable deeds as-if
δεδιότες μή τις αὐτοῖς παρὰ σοὶ φιλανθρωπίας λελείψεται
fearing lest any to-them with you of-humanity will-be-left

λόγος· σὺ δὲ τούς τε σώζεσθαι οὐκ ἀξιοῦντας ἐλεεῖν
account you and those both to-be-saved not deeming-worthy to-pity
βούλει, καὶ φείδεσθαι τῶν οὐδαμῆ ἐθελόντων ἐσπούδακας.
you-wish and to-spare those in-no-way willing you-are-eager
οἱ δὲ προλοχίσαντες ἐν ἁλούσῃ πόλει τοὺς νενικηκότας 8.32
they and having-laid-ambush in captured city the conquerors
ἐνέδραις τισὶ διαφθείρουσι, καίπερ ἁπάντων αὐτοῖς
with-ambushes some destroy although all for-them
πάλαι πεφευγότων στρατιωτῶν."
long-since having-fled soldiers
ταῦτα ὁ Χοσρόης ἀκούσας, τῶν ἀρίστων πολλοὺς ἐπ' 8.33
these-things — Chosroes having-heard of-the best many against
αὐτοὺς ἔπεμψεν, οἳ οὐκ ἐς μακρὰν ἐπανήκοντες οὐδὲν
them sent who not after long returning nothing
ξυμβῆναι φλαῦρον ἀπήγγελλον.
to-have-happened untoward reported
ἤδη γὰρ Ἀντιοχέας Πέρσαι βιασάμενοι πλήθει 8.34
already for Antiochenes Persians having-overpowered by-number
ἐτρέψαντο, καὶ γέγονε φόνος ἐνταῦθα πολύς. οἱ γὰρ
routed and came-about slaughter there great the for
Πέρσαι οὐδεμιᾶς ἡλικίας φειδόμενοι τοὺς ἐν ποσὶν
Persians no age sparing those at feet
ἅπαντας ἡβηδὸν ἔκτεινον.
all from-youth-up killed
τότε φασὶ γυναῖκας τῶν ἐν Ἀντιοχεῦσιν ἐπιφανῶν δύο 8.35
then they-say women of-the among Antiochenes notable two
γενέσθαι μὲν ἔξω τοῦ περιβόλου, αἰσθομένας δὲ ὡς ὑπὸ
to-have-got indeed outside the circuit-wall having-perceived and that under
τοῖς πολεμίοις γενήσονται (πανταχόσε γὰρ ἤδη περιόντες
the enemies they-will-come everywhere for already going-about
καθεωρῶντο) δρόμῳ μὲν παρὰ ποταμὸν Ὀρόντην ἐλθεῖν,
they-were-seen at-a-run indeed by river Orontes to-have-come

φοβουμένας δὲ μή τι σφᾶς ἐς τὸ σῶμα ὑβρίσωσι
fearing and lest anything them in the body might-outrage
Πέρσαι, ταῖς τε καλύπτραις ἐγκαλυψαμένας τὰ πρόσωπα
Persians with-the both veils having-covered the faces
καὶ ἐς τὸ τοῦ ποταμοῦ ῥεῦμα ἐμπεσούσας ἀφανισθῆναι.
and into the of-the river stream having-fallen to-have-vanished
οὕτω πᾶσα κακοῦ τοὺς Ἀντιοχέας ἰδέα ἔσχεν.
thus every of-evil the Antiochenes form held

9.1 Ἐνταῦθα ὁ Χοσρόης τοῖς πρέσβεσιν ἔλεξε τοιάδε "Οὐκ
there — Chosroes to-the envoys spoke such-things not
ἔξω τοῦ ἀληθοῦς τὸν παλαιὸν λόγον οἶομαι εἶναι, ὅτι
outside the truth the old saying I-think to-be that
δὴ οὐκ ἀκραιφνῆ τἀγαθὰ ὁ θεός, ἀλλὰ κεραννύων
indeed not unmixed the-good-things — God but mixing
αὐτὰ τοῖς κακοῖς εἶτα τοῖς ἀνθρώποις παρέχεται.
them with-the evils then to-the men provides

9.2 καὶ δι' αὐτὸ οὐδὲ τὸ γελᾶν ἄκλαυστον ἔχομεν,
and because-of it not-even the to-laugh without-tears we-have
παραπέπηγε δέ τις ἀεὶ τοῖς μὲν εὐτυχήμασι συμφορά,
is-fixed-beside and some always to-the indeed good-fortunes misfortune
ταῖς δὲ ἡδοναῖς λύπη, οὐκ ἐῶσαί τινα γνησίας ποτὲ
to-the and pleasures pain not allowing any genuine ever
τῆς δεδομένης εὐημερίας ἀπόνασθαι.
of-the given prosperity to-enjoy

9.3 πόλιν γὰρ τήνδε, ἀξιολογωτάτην ἐς τὰ μάλιστα λεγομένην
city for this most-notable to the most called
τε καὶ οὖσαν ἐν γῇ τῇ Ῥωμαίων, ἀπονώτατα μὲν
both and being in land the of-Romans with-least-toil indeed
ἑλεῖν ἴσχυσα, τοῦ θεοῦ αὐτοσχεδιάσαντος ἡμῖν, ὡς ὁρᾶτε
to-take I-was-able — God having-improvised for-us as you-see
δήπου, τὴν νίκην.
doubtless the victory

φόνον μέντοι ἀνθρώπων ὁρῶντί μοι τοσούτων τὸ πλῆθος, 9.4
slaughter however of-men seeing to-me so-many the number
αἵματί τε πολλῷ βεβαπτισμένον τὸ τρόπαιον, οὐδεμία
with-blood and much drenched the trophy no
τῆς ἀπὸ τῆς πράξεως ἡδονῆς γέγονεν αἴσθησις.
of-the from the deed pleasure has-come perception
καὶ τῶνδε οἱ ταλαίπωροι Ἀντιοχεῖς αἴτιοι, οἵ γε 9.5
and of-these the wretched Antiochenes guilty who at-least
τειχομαχοῦντας μὲν οὐχ οἷοί τε γεγόνασι Πέρσας
storming-the-wall indeed not able — have-been Persians
ἀπώσασθαι, πρὸς δὲ νενικηκότας ἤδη καὶ αὐτοβοεὶ τὴν
to-repel against and having-conquered already and by-storm the
πόλιν ἑλόντας θράσει θανατῶντες ἀλογίστῳ ζυγομαχεῖν
city having-taken with-boldness courting-death unreasoning to-fight-on
ἔγνωσαν.
decided
πάντες μὲν οὖν οἱ Περσῶν δόκιμοι πολλὰ ἐνοχλοῦντες 9.6
all indeed then the of-Persians notable much troubling
σαγηνεῦσαί τέ με τὴν πόλιν ἠξίουν καὶ ξύμπαντας
to-net both me the city asked and all
διαφθεῖραι τοὺς ἡλωκότας, ἐγὼ δὲ τοὺς φεύγοντας ἐκέλευον
to-destroy the captured I and the fleeing bade
εἰς τὴν ὑπαγωγὴν ἔτι μᾶλλον ὁρμᾶν, ὅπως ὅτι τάχιστα
into the retreat still more to-hasten so-that as quickest
σώζοιντο. τὸ γὰρ ἐπεμβαίνειν τοῖς ἡλωκόσιν οὐχ ὅσιον."
they-might-be-saved the for to-trample-on the captured not holy
τοσαῦτα μὲν ὁ Χοσρόης τερατευόμενός τε καὶ 9.7
so-much indeed — Chosroes boasting both and
διαθρυπτόμενος τοῖς πρέσβεσιν εἶπεν, οὐκ ἔλαθε μέντοι
putting-on-airs to-the envoys said not escaped however

αὐτοὺς ὅτου ἕνεκα τὸν καιρὸν φεύγουσι τοῖς Ῥωμαίοις
them for-what sake the opportunity fleeing to-the Romans
ἐνδοίη.
he-granted

9.8 Ἦν γὰρ δεινότατος ἀνθρώπων ἁπάντων τὰ μὲν οὐκ
was for most-clever of-men all the-things indeed not
ὄντα εἰπεῖν, τὰ δὲ ἀληθῆ ἀποκρύψασθαι, καὶ ὧν
being to-say the-things and true to-hide and of-what
αὐτὸς ἐξημάρτανε τὰς αἰτίας τοῖς ἠδικημένοις ἐπενεγκεῖν·
he-himself erred the blames on-the wronged to-put
ἔτι δὲ ὁμολογῆσαι μὲν ἕτοιμος ἅπαντα καὶ ὅρκῳ
further and to-agree indeed ready all-things and with-oath
τὴν ὁμολογίαν πιστώσασθαι, λίαν δὲ τῶν ἔναγχος
the agreement to-confirm very and of-the-things lately
αὐτῷ ξυγκειμένων τε καὶ ὀμωμοσμένων ἑτοιμότερος
with-him agreed both and sworn more-ready
ἐς λήθην ἀφῖχθαι, καὶ χρημάτων μὲν ἕνεκεν ἐπὶ
to forgetfulness to-have-come and of-money indeed for-sake into
πᾶν ἄγος καθεῖναι τὴν ψυχὴν ἄοκνος, τῷ δὲ
every pollution to-plunge the soul unhesitating with-the and
προσώπῳ σχηματίζεσθαι τὴν εὐλάβειαν ἀτεχνῶς ἔμπειρος,
face to-feign the piety simply skilled
ἀφοσιοῦσθαί τε τῷ λόγῳ τὴν πρᾶξιν.
to-absolve and with-the word the deed

9.9 ὃς καὶ Σουρηνούς, πρότερον οὐδὲν τὸ παράπαν ἠδικηκότας,
who also Surenians before nothing the at-all having-wronged
δόλῳ τε περιελθὼν καὶ τρόπῳ ἀπολέσας τῷ εἰρημένῳ,
by-trick both having-outwitted and in-manner having-destroyed the mentioned
ἐπειδὴ γυναῖκα κοσμίαν τε καὶ οὐκ ἀφανῆ ἁλισκομένης
when woman decent both and not obscure being-captured
τῆς πόλεως εἶδεν ἐκ χειρὸς μὲν τῆς ἀριστερᾶς πρός του
of-the city he-saw by hand indeed the left by some

τῶν βαρβάρων ἑλκομένην ξὺν πολλῇ βίᾳ, παιδίον δέ, ὅπερ
of-the barbarians being-dragged with much violence child and which
αὐτῇ ἄρτι τοῦ τιτθοῦ ἦν ἀπαλλαγέν, ἀφεῖναι μὲν οὐ
to-her just-now from-the breast was weaned to-let-go indeed not
βουλομένην, ἕλκουσαν δὲ θατέρᾳ χειρὶ ἐμπεπτωκὸς εἰς τὸ
wishing dragging and with-the-other hand having-fallen to the
ἔδαφος, ἐπεί οἱ ξυντρέχειν οὐχ οἷόν τε ἦν τοῦτον δὴ τὸν
ground since to-it to-run-along not possible — was this indeed the
βίαιον δρόμον, τὸν οἰκεῖον κἀνταῦθα ἐνδέδεικται τρόπον.
violent running the own also-here has-shown character
φασὶ γὰρ αὐτὸν στενάξαντα δῆθεν τῷ λόγῳ, δόκησίν τε 9.10
they-say for him having-groaned forsooth in-the word appearance and
ὡς εἴη δεδακρυμένος παρεχόμενον τοῖς τότε παροῦσιν
as he-were in-tears offering to-those then present
ἄλλοις τε καὶ Ἀναστασίῳ τῷ πρεσβευτῇ, εὔξασθαι τὸν
others both and to-Anastasius the envoy to-have-prayed —
θεὸν τίσασθαι τὸν τῶν γεγονότων κακῶν αἴτιον.
God to-punish the of-the having-happened evils cause
Ἰουστινιανὸν δὲ τὸν Ῥωμαίων αὐτοκράτορα παραδηλοῦν 9.11
Justinian and the of-Romans autocrat to-hint
ἤθελεν, ἐξεπιστάμενος ὅτι δὴ αὐτὸς αἰτιώτατος ἁπάντων
wished knowing-well that indeed he most-responsible of-all
εἴη.
was
τοσαύτῃ χρώμενος φύσεως ἀτοπίᾳ Χοσρόης βασιλεύς 9.12
such using of-nature strangeness Chosroes king
τε Περσῶν γέγονε (Ζάμου τὸν ὀφθαλμὸν τοῦ δαιμονίου
both of-Persians became of-Zames the eye the deity
πηρώσαντος, ὅσπερ τῷ χρόνῳ τὰ πρωτεῖα ἐς τὴν
having-maimed who-indeed in-the time the first-place to the
βασιλείαν ἐφέρετο μετά γε τὸν Καόσην, ὅνπερ
kingship carried after at-least — Caoses whom-indeed

οὐδενὶ λόγῳ ἐμίσει Καβάδης) καὶ πόνῳ οὐδενὶ τῶν
with-no reason hated Cavades and with-toil no of-those
οἱ ἐπαναστάντων ἐκράτησε, κακά τε Ῥωμαίους
against-him having-risen prevailed evils and to-Romans
ὅσα ἐβούλευσεν εὐπετῶς ἔδρασε.
as-many-as he-planned easily did

9.13 βουλομένη γάρ τινα μέγαν ἀεὶ ποιεῖν ἡ τύχη πράσσει
wishing for some great always to-make the fortune accomplishes
τοῖς καθήκουσι χρόνοις τὰ δόξαντα, οὐδενὸς τῇ ῥύμῃ
at-the fitting times the-things resolved no-one the rush
τῆς βουλήσεως ἀντιστατοῦντος, οὔτε τὸ τοῦ ἀνδρὸς
of-the will opposing neither the of-the man
διασκοπουμένη ἀξίωμα οὔτε ὅπως μὴ γένηταί τι
examining worth nor how not may-come-about anything
τῶν οὐ δεόντων λογιζομένη, οὐδὲ ὅτι βλασφημήσουσιν
of-the-things not needful reckoning nor that will-blaspheme
ἐς αὐτὴν διὰ ταῦτα πολλοί, τὸ γεγονὸς
against her because-of these-things many the having-happened
αὐτῇ παρὰ τὴν ἀξίαν τοῦ τῆς χάριτος τετυχηκότος
by-her beyond the deserts of-the of-the favor having-obtained
χλευάζοντες, οὐδὲ ἄλλο τῶν πάντων οὐδὲν ἐν νῷ
mocking nor other of-the all anything in mind
ποιουμένη, ἢν τὸ δόξαν αὐτῇ περαίνοιτο μόνον. ἀλλὰ
making if the thing-resolved for-her be-accomplished only but
ταῦτα μὲν ὅπη τῷ θεῷ φίλον ἐχέτω.
these-things indeed as — to-God dear let-it-be

9.14 Χοσρόης δὲ τὸ μὲν στράτευμα τῶν Ἀντιοχέων τοὺς
Chosroes and the indeed army of-the Antiochenes the
περιόντας ζωγρεῖν καὶ ἀνδραποδίζειν ἐκέλευε καὶ τὰ
survivors to-take-alive and to-enslave bade and the
χρήματα πάντα ληίζεσθαι, αὐτὸς δὲ ξὺν τοῖς πρέσβεσιν
money all to-plunder himself and with the envoys

ἐς τὸ ἱερὸν ἀπὸ τῆς ἄκρας κατέβαινεν, ὅπερ ἐκκλησίαν
to the sanctuary from the summit came-down which church
καλοῦσιν.
they-call
ἐνταῦθα κειμήλια χρυσοῦ τε καὶ ἀργύρου τοσαῦτα τὸ 9.15
there treasures of-gold both and of-silver so-many the
πλῆθος ὁ Χοσρόης εὗρεν, ὥστε τῆς λείας ἄλλο οὐδὲν
number — Chosroes found that of-the booty other nothing
ὅτι μὴ τὰ κειμήλια ταῦτα λαβὼν πλούτου τι μέγεθος
except — the treasures these having-taken of-wealth some greatness
περιβεβλημένος ἀπιὼν ᾤχετο.
having-gained departing went-off
καὶ μάρμαρά τε πολλὰ καὶ θαυμαστὰ ἐνθένδε ἀφελὼν 9.16
and marbles both many and wonderful from-there having-removed
ἔξω τοῦ περιβόλου ἐκέλευε κατατίθεσθαι, ὅπως καὶ
outside the circuit-wall he-bade to-be-laid-down so-that also
ταῦτα ἐς τὰ Περσῶν ἤθη κομίσωνται.
these to the of-Persians haunts they-might-convey
ταῦτα διαπεπραγμένος ξύμπασαν τὴν πόλιν ἐμπρῆσαι 9.17
these-things having-done all the city to-burn
Πέρσαις ἐπέστελλε. καὶ αὐτοῦ οἱ πρέσβεις ἐδέοντο τῆς
to-Persians he-ordered and of-him the envoys begged from-the
ἐκκλησίας ἀπέχεσθαι μόνης, ἧς τὰ λύτρα κεκομισμένος
church to-keep-away alone of-which the ransom having-received
διαρκῶς εἴη.
sufficiently he-was
ὁ δὲ τοῦτο τοῖς πρέσβεσι ξυγκεχωρηκὼς τἆλλα καίειν 9.18
he and this to-the envoys having-conceded the-rest to-burn
ἐκέλευε πάντα, ὀλίγους τέ τινας αὐτόθι ἀπολιπὼν τοὺς
bade all few and some there having-left those
τὴν πόλιν ἐμπρήσοντας, αὐτὸς ξὺν τοῖς ἄλλοις ἅπασιν
the city about-to-burn himself with the others all

ἐς τὸ στρατόπεδον ἀπεχώρησεν, οὗ καὶ πρότερον
to the camp withdrew where also before
διεσκηνημένοι ἐτύγχανον.
having-pitched-tents they-happened

XVIII · SELEUCIA, APAMEA, AND THE TERMS

Procopius recalls the portent of the standards turning east and confesses he cannot understand why God destroys a city so great. The envoys reproach Chosroes for breaking his oaths; they agree that he will take fifty centenaria at once and five a year forever and will then go home. He bathes in the sea at Seleucia, visits Daphne, burns the sanctuary of Michael after a butcher kills a Persian rider, and goes to Apamea, where a light moves over the relic of the Cross. Chosroes takes the city's treasure but leaves the relic to Thomas the bishop at his plea, has the Greens win at the races, and impales a Persian who violated an Apamean girl.

10.1 Τούτου τοῦ πάθους χρόνῳ τινὶ πρότερον τέρας ὁ
of-this the suffering in-time some before portent —
θεὸς ἐνδειξάμενος τοῖς ταύτῃ ὠκημένοις ἐσήμηνε τὰ
God having-displayed to-those there dwelling signified the-things
ἐσόμενα. τῶν γὰρ στρατιωτῶν, οἵπερ ἐνταῦθα ἐκ
about-to-be of-the for soldiers who-indeed there from
παλαιοῦ ἵδρυνται, τὰ σημεῖα πρότερον ἑστῶτα πρὸς
of-old are-settled the standards before standing toward
δύοντά που τὸν ἥλιον, ἀπὸ ταὐτομάτου στραφέντα
setting somewhere the sun from of-themselves having-turned
πρὸς ἀνίσχοντα ἥλιον ἔστησαν, ἐς τάξιν τε αὖθις
toward rising sun stood into position and again
ἐπανῆκον τὴν προτέραν οὐδενὸς ἁψαμένου.
returned the former no-one having-touched

ταῦτα οἱ στρατιῶται ἄλλοις τε πολλοῖς ἄγχιστά πη 10.2
these-things the soldiers to-others both many nearest somehow
παροῦσι καὶ τῷ χορηγῷ τῆς τοῦ στρατοπέδου δαπάνης
being-present and to-the provider of-the of-the camp expense
ἔδειξαν, ἔτι τῶν σημείων κραδαινομένων. ἦν δὲ οὗτος
showed still the standards quivering was and this
ἀνήρ, Τατιανὸς ὄνομα, ξυνετὸς μάλιστα, ἐκ Μοψουεστίας
man Tatianus by-name sagacious most from Mopsuestia
ὁρμώμενος.
setting-out

ἀλλ' οὐδ' ὡς ἔγνωσαν οἱ τὸ τέρας τοῦτο ἰδόντες ὡς 10.3
but not-even so understood those the portent this having-seen that
δὴ ἐκ βασιλέως τοῦ ἑσπερίου ἐπὶ τὸν ἑῷον τὸ τοῦ
indeed from king the western to the eastern the of-the
χωρίου ἀφίξεται κράτος, ὅπως δηλαδὴ διαφυγεῖν μηδεμιᾷ
place will-pass power so-that evidently to-escape by-no
μηχανῇ δύνωνται οὕσπερ ἔδει ταῦτα ἅπερ
device they-might-be-able whom-indeed it-was-needful these-things which-indeed
ξυνηνέχθη παθεῖν.
it-befell to-suffer

Ἐγὼ δὲ ἰλιγγιῶ πάθος τοσοῦτον γράφων τε καὶ 10.4
I and grow-dizzy suffering so-great writing both and
παραπέμπων ἐς μνήμην τῷ μέλλοντι χρόνῳ, καὶ οὐκ
handing-down to memory to-the future time and not
ἔχω εἰδέναι τί ποτε ἄρα βουλομένῳ τῷ θεῷ εἴη
I-can to-know what ever then wishing — God it-may-be
πράγματα μὲν ἀνδρὸς ἢ χωρίου του ἐπαίρειν εἰς ὕψος,
affairs indeed of-man or of-place some to-lift to height
αὖθις δὲ ῥιπτεῖν τε αὐτὰ καὶ ἀφανίζειν ἐξ οὐδεμιᾶς
again and to-throw-down both them and to-destroy from no
ἡμῖν φαινομένης αἰτίας.
to-us appearing cause

10.5 αὐτῷ γὰρ οὐ θέμις εἰπεῖν μὴ οὐχὶ ἅπαντα κατὰ λόγον
for-him for not lawful to-say not not all-things according-to reason
ἀεὶ γίγνεσθαι, ὃς δὴ καὶ Ἀντιόχειαν τότε ὑπέστη ἐς τὸ
always to-happen who indeed also Antioch then endured to the
ἔδαφος πρὸς ἀνδρὸς ἀνοσιωτάτου καταφερομένην ἰδεῖν,
ground by man most-unholy being-brought-down to-see
ἧς τό τε κάλλος καὶ τὸ ἐς ἅπαντα μεγαλοπρεπὲς
of-which the both beauty and the in all magnificence
οὐδὲ νῦν ἀποκρύπτεσθαι παντάπασιν ἔσχεν.
not-even now to-be-hidden altogether could

10.6 Ἡ μὲν οὖν ἐκκλησία καθαιρεθείσης τῆς πόλεως ἐλείφθη
the indeed then church having-been-destroyed the city was-left
μόνη, πόνῳ τε καὶ προνοίᾳ Περσῶν, οἷς τὸ ἔργον
alone by-toil both and by-forethought of-Persians on-whom the work
ἐπέκειτο τοῦτο.
lay this

10.7 ἐλείφθησαν δὲ καὶ ἀμφὶ τὸ λεγόμενον Κεραταῖον οἰκίαι
were-left and also about the called Cerataeum houses
πολλαί, οὐκ ἐκ προνοίας ἀνθρώπων τινός, ἀλλ᾽ ἐπεὶ
many not from forethought of-men any but since
ἔκειντό που πρὸς ἐσχάτοις τῆς πόλεως, ἑτέρας αὐταῖς
they-lay somewhere at the-ends of-the city other to-them
οὐδεμιᾶς τινος οἰκοδομίας ξυναπτομένης, τὸ πῦρ ἐς
no any building being-joined the fire to
αὐτὰς ἐξικνεῖσθαι οὐδαμῇ ἴσχυσεν.
them to-reach in-no-way was-able

10.8 ἐνέπρησάν τε καὶ τὰ ἐκτὸς τοῦ περιβόλου οἱ βάρβαροι,
burned and also the-parts outside the circuit-wall the barbarians
πλὴν τοῦ ἱεροῦ, ὅπερ Ἰουλιανῷ ἀνεῖται ἁγίῳ, καὶ τῶν
except the sanctuary which to-Julian is-dedicated saint and the
οἰκιῶν, αἳ δὴ ἀμφὶ τὸ ἱερὸν τοῦτο τυγχάνουσιν οὖσαι.
houses which indeed about the sanctuary this happen being

τοὺς γὰρ πρέσβεις ἐνταῦθα καταλῦσαι ξυνέπεσε. τοῦ 10.9
the for envoys there to-lodge it-befell the
μέντοι περιβόλου παντάπασιν ἀπέσχοντο Πέρσαι.
however circuit-wall altogether kept-off Persians
Ὀλίγῳ δὲ ὕστερον ἥκοντες αὖθις παρὰ τὸν Χοσρόην 10.10
a-little and later having-come again to — Chosroes
οἱ πρέσβεις ἔλεξαν ὧδε "Εἰ μὴ πρὸς παρόντα σέ, ὦ
the envoys spoke thus if not to present you O
βασιλεῦ, οἱ λόγοι ἐγίνοντο, οὐκ ἄν ποτε ᾠόμεθα
king the words were-taking-place not — ever we-would-have-thought
Χοσρόην τὸν Καβάδου ἐς γῆν τὴν Ῥωμαίων ἐν ὅπλοις
Chosroes the of-Cavades into land the of-Romans in arms
ἥκειν, ἀτιμάσαντα μὲν τοὺς διομωμοσμένους σοι ἔναγχος
to-come having-dishonored indeed the sworn by-you lately
ὅρκους, ὧ τῶν ἐν ἀνθρώποις ἁπάντων ὕστατόν τε
oaths which of-the among men all last both
καὶ ὀχυρώτατον εἶναι δοκεῖ τῆς ἐς ἀλλήλους πίστεώς
and strongest to-be seems of-the toward one-another faith
τε καὶ ἀληθείας ἐνέχυρον, διαλύσαντα δὲ τὰς σπονδάς,
both and truth pledge having-broken and the treaty
ὧν ἡ ἐλπὶς ἀπολέλειπται μόνη τοῖς διὰ τὴν ἐν
of-which the hope is-left alone to-those because-of the in
πολέμῳ κακοπραγίαν οὐκ ἐν τῷ ἀσφαλεῖ βιοτεύουσιν.
war misfortune not in the safety living
οὐ γὰρ ἄλλο οὐδὲν τὸ τοιοῦτον εἴποι τις ἂν εἶναι 10.11
not for other anything the such would-say anyone — to-be
ἢ τῶν ἀνθρώπων τὴν δίαιταν ἐς τὴν τῶν θηρίων
than of-the men the living to the of-the beasts
μεταβεβλῆσθαι.
to-have-been-changed

10.12 ἐν γὰρ τῷ μηδαμῇ σπένδεσθαι τὸ πολεμεῖν ἀπέραντα
in for the in-no-way to-make-treaty the to-make-war endless
λελείψεται πάντως, πόλεμος δὲ ὁ πέρας οὐκ ἔχων ἐξοικίζειν
will-be-left wholly war and the end not having to-remove
τῆς φύσεως τοὺς αὐτῷ χρωμένους ἐς ἀεὶ πέφυκε.
from-the nature those it using for ever is-by-nature
10.13 τί δὲ καὶ βουλόμενος πρὸς τὸν σὸν ἀδελφὸν ὀλίγῳ
what and also wishing to the your brother a-little
πρότερον γέγραφας ὡς αὐτὸς εἴη τοῦ λελύσθαι
before you-have-written that he were of-the to-have-been-broken
τὰς σπονδὰς αἴτιος; ἦ δῆλον ὅτι ὁμολογῶν κακόν τι
the treaty responsible surely evident that agreeing evil some
παμμέγεθες εἶναι τὴν τῶν σπονδῶν λύσιν;
very-great to-be the of-the treaty breaking
10.14 εἰ μὲν οὖν ἐκεῖνος οὐδὲν ἥμαρτεν, οὐ δικαίως τανῦν
if indeed then he nothing erred not justly now
ἐφ᾽ ἡμᾶς ἥκεις· εἰ δέ τι τοιοῦτον τ᾽ ἀδελφῷ τῷ
against us you-come if and anything such to-the brother the
σῷ εἰργάσθαι ξυμβαίνει, ἀλλὰ καὶ σοὶ μέχρι τούτου
your to-have-been-done it-befalls but also by-you up-to this
γε καὶ μὴ περαιτέρω διαπεπράχθω τὸ ἔγκλημα, ὅπως
at-least and not further let-be-done the offense so-that
αὐτὸς κρείσσων εἶναι δοκῇς. ὁ γὰρ ἐν τοῖς κακοῖς
you-yourself superior to-be may-seem the for in the evils
ἐλασσούμενος, οὗτος ἂν ἐν τοῖς ἀμείνοσι νικῴη δικαίως.
being-worsted this-one — in the better would-win justly
10.15 καίτοι ἡμεῖς ἐξεπιστάμεθα Ἰουστινιανὸν βασιλέα
and-yet we know-well Justinian emperor
μηδεπώποτε τῆς εἰρήνης ἀπ᾽ ἐναντίας ἐληλυθέναι, καὶ σοῦ
never of-the peace from opposite to-have-come and you
δεόμεθα μὴ τοιαῦτα ἐργάσασθαι Ῥωμαίους κακά, ἐξ ὧν
we-beg not such to-do to-Romans evils from which

Πέρσαις μὲν ὄνησις οὐδεμία ἔσται, σὺ δὲ τοῦτο κερδανεῖς
to-Persians indeed benefit no will-be you and this will-gain
μόνον, ἀνήκεστα ἔργα τοὺς ἄρτι σοι σπεισαμένους
only incurable deeds on-those just-now with-you having-made-treaty
οὐ δέον εἰργάσθαι.” οἱ μὲν πρέσβεις τοσαῦτα εἶπον.
not needful to-have-wrought the indeed envoys so-much said
Χοσρόης δὲ ταῦτα ἀκούσας ἰσχυρίζετο μὲν τὰς 10.16
Chosroes and these-things having-heard insisted indeed the
σπονδὰς πρὸς Ἰουστινιανοῦ βασιλέως λελύσθαι· καὶ
treaty by Justinian emperor to-have-been-broken and
τὰς αἰτίας κατέλεγεν ἅσπερ ἐκεῖνος παρέσχετο, τὰς
the causes enumerated which-indeed he had-provided the
μέν τινας καὶ λόγου ἀξίας, τὰς δὲ φαύλας τε καὶ
indeed some even of-word worthy the and paltry both and
οὐδενὶ λόγῳ ξυμπεπλασμένας· μάλιστα δὲ αὐτοῦ τὰς
with-no reason fabricated most and his the
ἐπιστολὰς τοῦ πολέμου αἰτιωτάτας ἠξίου δεικνύναι
letters of-the war most-responsible he-claimed to-show
πρός τε Ἀλαμούνδαρον καὶ Οὔννους αὐτῷ γεγραμμένας,
to both Alamundaras and Huns by-him written
καθάπερ μοι ἐν τοῖς ἔμπροσθεν λόγοις ἐρρήθη.
as by-me in the former accounts it-has-been-told
ἄνδρα μέντοι Ῥωμαῖον ἐς τὴν Περσῶν γῆν ἐσβεβληκέναι 10.17
man however Roman into the of-Persians land to-have-invaded
ἢ πολέμια ἔργα ἐνδείξασθαι οὔτε λέγειν εἶχεν οὔτε
or hostile deeds to-have-displayed neither to-say could nor
δεικνύναι.
to-show

10.18 οἱ μέντοι πρέσβεις πὴ μὲν τὰς αἰτίας οὐκ ἐς Ἰουστινιανὸν
the however envoys here indeed the causes not to Justinian
ἀνέφερον, ἀλλ᾽ ἐς τῶν ὑπουργηκότων τινάς, πὴ δὲ ὡς
referred but to of-the subordinates some there and as
οὐχ οὕτω γεγονότων ἐπελαμβάνοντο τῶν εἰρημένων.
not so having-happened took-up the things-said

10.19 τέλος δὲ χρήματα μέν οἱ πολλὰ ὁ Χοσρόης ἠξίου
finally and money indeed to-him much — Chosroes claimed
διδόναι Ῥωμαίους, παρῄνει δὲ μὴ τὰ χρήματα ἐν τῷ
to-give Romans advised and not the money in the
παραυτίκα μόνον παρεχομένους τὴν εἰρήνην ἐθέλειν ἐς
instant only providing the peace to-wish for
τὸν πάντα αἰῶνα κρατύνασθαι.
the whole age to-strengthen

10.20 τὴν γὰρ ἐπὶ χρήμασι γινομένην ἀνθρώποις φιλίαν
the for upon money arising for-men friendship
ἀναλισκομένοις ἐκ τοῦ ἐπὶ πλεῖστον ξυνδαπανᾶσθαι τοῖς
being-spent from the on most to-be-spent-together with-the
χρήμασι.
money

10.21 δεῖν τοίνυν Ῥωμαίους τακτόν τι φέρειν ἐπέτειον
it-is-needful therefore Romans fixed something to-pay yearly
Πέρσαις. “Οὕτω γὰρ αὐτοῖς” ἔφη “τὴν εἰρήνην Πέρσαι
to-Persians thus for to-them he-said the peace Persians
βέβαιον ἕξουσι, τάς τε Κασπίας αὐτοὶ φυλάσσοντες
secure will-have the both Caspian themselves guarding
πύλας καὶ οὐκέτι αὐτοῖς ἀχθόμενοι διὰ πόλιν Δάρας,
gates and no-longer with-them being-vexed because-of city Daras
ὑπὲρ ὧν ἔμμισθοι καὶ αὐτοὶ ἐς ἀεὶ ἔσονται.” “Οὐκοῦν”
for which paid also themselves for ever will-be therefore

οἱ πρέσβεις ἔφασαν "ὑποτελεῖς Πέρσαι βούλονται
the envoys said tributary Persians wish
Ῥωμαίους ἐς φόρου ἀπαγωγὴν ἔχειν."
Romans for of-tribute payment to-have
"Οὔκ, ἀλλὰ στρατιώτας οἰκείους" ὁ Χοσρόης εἶπεν 10.22
no but soldiers own — Chosroes said
"ἕξουσι τὸ λοιπὸν Πέρσας Ῥωμαῖοι, μισθὸν τῆς ὑπουργίας
will-have the further Persians Romans pay of-the service
αὐτοῖς χορηγοῦντες ῥητόν·
to-them supplying fixed
ἐπεὶ καὶ Οὔννων τισὶ καὶ Σαρακηνοῖς ἐπέτειον χορηγεῖτε 10.23
since also of-Huns to-some and to-Saracens yearly you-supply
χρυσόν, οὐ φόρου αὐτοῖς ὑποτελεῖς ὄντες, ἀλλ' ὅπως
gold not of-tribute to-them tributary being but so-that
ἀδῄωτον γῆν τὴν ὑμετέραν φυλάξωσιν ἐς τὸν πάντα αἰῶνα."
unravaged land the your they-may-guard for the whole age
τοιαῦτα Χοσρόης τε καὶ οἱ πρέσβεις πολλὰ πρὸς ἀλλήλους 10.24
such-things Chosroes both and the envoys much with one-another
διαλεχθέντες ξυνέβησαν ὕστερον ἐφ' ᾧ Χοσρόην ἐν μὲν
having-discussed agreed later on which Chosroes in indeed
τῷ παραυτίκα κεντηνάρια πεντήκοντα πρὸς Ῥωμαίων
the instant centenaria fifty from Romans
λαβόντα, πέντε δὲ ἄλλων φερόμενον ἐπέτειον ἐς τὸν
having-received five and others receiving yearly for the
πάντα αἰῶνα δασμόν, μηδὲν αὐτοὺς ἐργάσασθαι περαιτέρω
whole age tribute nothing them to-do further
κακόν, ἀλλ' αὐτὸν μὲν ὁμήρους ἐπὶ ταύτῃ τῇ ὁμολογίᾳ
evil but himself indeed hostages for this the agreement
παρὰ τῶν πρέσβεων κεκομισμένον τὴν ἀποπορείαν παντὶ
from the envoys having-received the departure with-all
τῷ στρατῷ ἐς τὰ πάτρια ἤθη ποιήσασθαι, ἐνταῦθα δὲ
the army to the ancestral haunts to-make there and

πρέσβεις παρὰ βασιλέως Ἰουστινιανοῦ στελλομένους τὰς
envoys from emperor Justinian being-sent the
ἀμφὶ τῇ εἰρήνῃ ξυνθήκας ἐν βεβαίῳ τὸ λοιπὸν θέσθαι.
about the peace agreements in sure the further to-establish

11.1 Τότε ὁ Χοσρόης ἐς Σελεύκειαν, πόλιν ἐπιθαλασσίαν,
then — Chosroes to Seleucia city by-the-sea
Ἀντιοχείας τριάκοντα καὶ ἑκατὸν σταδίοις διέχουσαν
from-Antioch thirty and hundred stades distant
ἦλθεν, ἐνταῦθά τε Ῥωμαίων οὐδένα οὔτε εὑρὼν οὔτε
came there and of-Romans no-one neither having-found nor
λυμηνάμενος ἀπελούσατο μὲν ἐκ τῆς θαλάσσης τῷ
having-harmed bathed indeed from the sea in-the
ὕδατι μόνος, θύσας τε τῷ ἡλίῳ καὶ οἱστισιν ἄλλοις
water alone having-sacrificed both to-the sun and to-whatever others
ἐβούλετο, πολλά τε ἐπιθειάσας ὀπίσω ἀπήλαυνεν.
he-wished much and having-invoked-the-gods back rode

11.2 ἔς τε τὸ στρατόπεδον ἀφικόμενος, ἐπιθυμίαν οἱ ἔφασκέ
into and the camp having-arrived desire to-him he-said
τινα εἶναι τὴν Ἀπαμέων πόλιν ἐν γειτόνων οὖσαν οὐκ
some to-be the of-Apameans city in neighborhood being not
ἄλλου του ἕνεκα ἢ ἱστορίας θεάσασθαι.
of-other anything for-sake than of-sight to-view

11.3 ξυνεχώρουν τε οὐχ ἑκούσιοι καὶ τοῦτο οἱ πρέσβεις,
conceded and not willing also this the envoys
ἐφ' ᾧ μέντοι αὐτὸν θεασάμενόν τε τὴν πόλιν καὶ
on which however him having-viewed both the city and
ἀργύρου χιλίας κομισάμενον ἐνθένδε λίτρας, οὐδέν τι
of-silver thousand having-received from-there pounds nothing at-all
ἄλλο λυμηνάμενον ἀπελαύνειν ὀπίσω.
other having-harmed to-ride back

ἔνδηλος δὲ ἦν ὁ Χοσρόης τοῖς τε πρέσβεσι καὶ πᾶσι 11.4
evident and was — Chosroes to-the both envoys and to-all
τοῖς ἄλλοις ὅτι δὴ ἐς τὴν Ἀπάμειαν τοῦδε ἕνεκα
the others that indeed to — Apamea for-this sake
στέλλοιτο μόνον, ὅπως δή τινος σκήψεως οὐκ ἀξιολόγου
he-was-going only so-that indeed some pretext not noteworthy
λαβόμενος αὐτήν τε καὶ τὴν ἐκείνῃ χώραν ληίσηται.
having-taken it both and the there land he-might-plunder
τότε μὲν οὖν ἐς Δάφνην ἀνέβη, τὸ Ἀντιοχείας προάστειον.
then indeed then to Daphne went-up the of-Antioch suburb
ἔνθα δὴ τό τε ἄλσος ἐν θαύματι μεγάλῳ ἐποιήσατο 11.5
where indeed the both grove in wonder great he-made
καὶ τὰς τῶν ὑδάτων πηγάς·
and the of-the waters springs
ἄμφω γὰρ ἀξιοθέατα ἐπιεικῶς ἐστι. καὶ θύσας ταῖς 11.6
both for worth-seeing fairly are and having-sacrificed to-the
νύμφαις ἀπιὼν ᾤχετο, ἄλλο μὲν οὐδὲν λυμηνάμενος,
nymphs departing went-off other indeed nothing having-harmed
τοῦ δὲ ἀρχαγγέλου Μιχαὴλ τὸ ἱερὸν καύσας ξὺν
of-the but archangel Michael the sanctuary having-burned with
ἑτέραις τισὶν οἰκίαις ἐξ αἰτίας τοιᾶσδε.
other some houses from cause such
Πέρσης ἀνὴρ ἵππῳ ὀχούμενος, ἔν τε τῷ Περσῶν στρατῷ 11.7
Persian man on-horse riding in both the of-Persians army
δόκιμος καὶ Χοσρόῃ βασιλεῖ γνώριμος, ἐς χῶρον κρημνώδη
notable and to-Chosroes king known to place precipitous
ἀμφὶ τὸν λεγόμενον Τρητὸν ἦλθε ξὺν ἑτέροις τισίν, οὗ
about the called Tretos came with others some where
δὴ τοῦ ἀρχαγγέλου Μιχαὴλ νεώς ἐστιν, Εὐάριδος ἔργον.
indeed of-the archangel Michael temple is of-Evaris work

11.8 οὗτος ἀνὴρ τῶν τινα Ἀντιοχέων νεανίαν πεζόν τε καὶ
this man of-the some Antiochenes young-man on-foot both and
μόνον κρυπτόμενον ἐνταῦθα ἰδὼν ἐδίωκε τῶν ἑτέρων
alone hiding there having-seen pursued of-the others
χωρίς. ἦν δὲ κρεοπώλης ὁ νεανίας, Ἀείμαχος ὄνομα.
apart was and butcher the young-man Aeimachus by-name
11.9 ὃς ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἐπιστραφεὶς ἐκ τοῦ
who when to-be-caught he-was-about having-turned from the
αἰφνιδίου λίθῳ τὸν διώκοντα βάλλει, ἐπιτυγχάνει τε
sudden with-stone the pursuer strikes hits and
τοῦ μετώπου ἐς τὴν παρὰ τὸ οὖς μήνιγγα. καὶ ὁ μὲν
of-the forehead at the by the ear membrane and he indeed
ἐς τὸ ἔδαφος εὐθὺς ἔπεσεν, ὁ δὲ αὐτοῦ τὸν ἀκινάκην
to the ground at-once fell he and his the scimitar
σπασάμενος κτείνει τὸν ἄνδρα.
having-drawn kills the man
11.10 σκυλεύσας τε αὐτοῦ κατ᾽ ἐξουσίαν τά τε ὅπλα καὶ τὸν
having-stripped both his at leisure the both arms and the
χρυσὸν ἅπαντα καὶ εἴ τι ἄλλο ἐτύγχανεν ἀμπεχόμενος,
gold all and if anything other he-happened wearing
ἐπί τε τὸν ἵππον ἀναθορὼν πρόσω ἤλαυνεν.
onto and the horse having-leapt forward rode
11.11 εἴτε δὲ τύχῃ εἴτε χωρίων ἐμπειρίᾳ χρησάμενος,
whether and by-fortune or of-places by-experience having-used
λαθεῖν τε τοὺς πολεμίους καὶ διαφυγεῖν παντελῶς
to-escape-notice both the enemies and to-escape completely
ἴσχυσε.
he-was-able

ταῦτα ὁ Χοσρόης μαθὼν καὶ τοῖς ξυμπεσοῦσι 11.12
these-things — Chosroes having-learned and at-the-things having-befallen
περιαλγήσας, τῶν οἱ ἑπομένων τινὰς καῦσαι τὸν τοῦ
grieving-sorely of-those to-him following some to-burn the of-the
ἀρχαγγέλου νεὼν οὗ πρόσθεν ἐμνήσθην ἐκέλευεν.
archangel temple of-which before I-mentioned bade
οἱ δὲ τοῦτον ἐκεῖνον εἶναι ἡγούμενοι ξὺν ταῖς ἀμφ᾽ 11.13
they and this that to-be thinking with the about
αὐτὸν οἰκοδομίαις ἐνέπρησαν, ἐπιτελεῖς τε πεποιῆσθαι τὰς
it buildings burned fulfilled and to-have-made the
Χοσρόου ἐντολὰς ᾤοντο. ταῦτα μὲν δὴ οὕτως ἔσχε.
26.17 τῶν δὲ τὴν εἰρήνην ἑλέσθαι ἂν πρὸ τῶν κινδύνων
of-them and the peace to-choose — before the dangers
ὁμολογούντων, "Οὐκοῦν" ἔφη ὁ Ζαβεργάνης "ὠνεῖσθαι
agreeing then said — Zabergan to-buy
ὑμᾶς ταύτην ἀνάγκη χρημάτων πολλῶν."
you it it-is-necessary with-money much

26.18 οἵ τε πρέσβεις ἔφασαν τοσαῦτα δώσειν ὅσα
the and envoys said so-much to-give as-much-as
παρέσχοντο πρότερον, ἡνίκα τὴν Ἀντιόχειαν ἑξελὼν
they-provided before when — Antioch having-taken
ἐπ' αὐτοὺς ἦλθε.
against them he-came

26.19 καὶ ὁ Ζαβεργάνης αὐτοὺς ξὺν γέλωτι ἀπεπέμψατο, ἐφ'
and — Zabergan them with laughter sent-away on
ᾧ ἐνδελεχέστατα βουλευσάμενοι ἀμφὶ τῇ σωτηρίᾳ οὕτω
which most-persistently having-taken-counsel about the safety thus
δὴ αὖθις παρ' αὐτοὺς ἔλθωσιν.
indeed again to them they-should-come

26.20 ὀλίγῳ τε ὕστερον μεταπεμψάμενος αὐτοὺς ὁ Χοσρόης,
a-little and later having-summoned them — Chosroes
ἐπειδὴ παρ' αὐτὸν ἵκοντο, κατέλεξε μὲν ὅσα τε
when to him they-came enumerated indeed what-things both
πρότερον καὶ ὅντινα τρόπον ἐξηνδραπόδισε Ῥωμαίων
before and in-what manner he-had-enslaved of-Romans
χωρία, ἠπείλησε δὲ τὰ δεινότερα Ἐδεσσηνοῖς πρὸς
places threatened and the more-terrible-things for-Edessenes from
Περσῶν ἔσεσθαι, εἰ μὴ πάντα σφίσι τὰ χρήματα
Persians to-be if not all to-them the money
δοῖεν ὅσα τοῦ περιβόλου ἐντὸς ἔχουσιν· οὕτω
they-should-give as-much-as the circuit-wall within they-have thus
γὰρ μόνως ἐνθένδε ἀπαλλαγήσεσθαι τὸν στρατὸν ἔφασκε.
for only from-there to-depart the army he-said

ταῦτα οἱ πρέσβεις ἀκούσαντες ὡμολόγουν μὲν παρὰ 26.21
these-things the envoys having-heard agreed indeed from
Χοσρόου τὴν εἰρήνην ὠνήσεσθαι, ἤν γε σφίσι μὴ τὰ
Chosroes the peace to-buy if at-least to-them not the
ἀδύνατα ἐπαγγείλειε· τοῦ δὲ κινδύνου τὸ πέρας οὐδενὶ
impossible-things he-should-demand of-the and danger the end to-no-one
τῶν πάντων ἔφασαν πρὸ τῆς ἀγωνίας ἔνδηλον εἶναι.
of-the all they-said before the contest evident to-be
πόλεμον γὰρ τοῖς αὐτὸν διαφέρουσιν ἐπὶ τοῖς 26.22
war for for-those it waging on the
ὁμολογουμένοις οὐ μή ποτε εἶναι. τότε μὲν οὖν ξὺν
agreed not — ever to-be then indeed then with
ὀργῇ ὁ Χοσρόης τοὺς πρέσβεις ἐκέλευεν ὅτι τάχιστα
anger — Chosroes the envoys bade as quickest
ἀπαλλάσσεσθαι.
to-depart
Ἡμέρᾳ δὲ ἀπὸ τῆς προσεδρείας ὀγδόῃ λόφον ἐπαναστῆσαι 26.23
on-day and from the siege eighth mound to-raise-against
χειροποίητον τῷ τῆς πόλεως περιβόλῳ βουλόμενος,
artificial against-the of-the city circuit-wall wishing
ἐπεὶ τὰ δένδρα ἐκτεμὼν αὐτοῖς φύλλοις πολλὰ
when the trees having-cut-down with-the-very leaves many
ἐκ χωρίων ἐγγύς πη ὄντων πρὸ τοῦ τείχους ἐν
from places near somewhere being before the wall in
τετραγώνῳ ξυνέθηκεν, οὗ δὴ βέλος ἐκ τῆς πόλεως
square he-put-together where indeed missile from the city
ἐξικνεῖσθαι ἀδύνατα ἦν, χοῦν τε πολύν τινα ἀτεχνῶς
to-reach impossible it-was soil and much some simply
ὕπερθεν τῶν δένδρων ξυναμησάμενος μέγα τι χρῆμα
above the trees having-heaped great some quantity
λίθων ἐπέβαλλεν, οὐκ ἐχόντων εἰς οἰκοδομίαν ἐπιτηδείως,
of-stones he-threw-on not being for building suitably

ἀλλ᾽ εἰκῇ τμηθέντων, ἐκείνου μόνου ἐπιμελούμενος,
but at-random cut of-that alone taking-care
ὅπως δὴ ὁ λόφος ὅτι τάχιστα ἐς ὕψος μέγα ἐπαίροιτο.
so-that indeed the mound as quickest to height great might-rise
26.24 καὶ ξύλα μακρὰ τοῦ τε χοῦ καὶ τῶν λίθων μεταξὺ ἐς
and timbers long of-the both soil and of-the stones between for
ἀεὶ ἐμβαλλόμενος ἔνδεσμον ἐποιεῖτο τοῦ ἔργου, ὅπως μὴ
ever throwing-in binding he-made of-the work so-that not
ὑψηλὸν γενόμενον ἀσθενὲς εἴη.
high having-become weak it-might-be
26.25 Πέτρος δὲ ὁ Ῥωμαίων στρατηγὸς (ἐνταῦθα γὰρ ξὺν
Peter and the of-Romans general there for with
Μαρτίνῳ καὶ Περανίῳ ἐτύγχανεν ὢν) τοὺς ταῦτα
Martinus and Peranius he-happened being those these-things
ἐργαζομένους ἀναστέλλειν ἐθέλων Οὔννων τῶν οἱ
working to-check wishing of-Huns of-those him
ἑπομένων τινὰς ἐπ᾽ αὐτοὺς ἔπεμψεν.
following some against them sent
26.26 οἱ δὲ πολλοὺς ἐκ τοῦ αἰφνιδίου ἐπελθόντες ἀνεῖλον,
they and many from the sudden having-attacked destroyed
καὶ πάντων μάλιστα τῶν τις δορυφόρων, Ἀργὴκ ὄνομα.
and of-all most of-the some guards Argek by-name
26.27 μόνος γὰρ ἑπτὰ καὶ εἴκοσιν ἔκτεινε. τῶν μέντοι βαρβάρων
alone for seven and twenty killed of-the however barbarians
φυλακὴν ἀκριβῆ τὸ λοιπὸν ποιουμένων οὐκέτι ἐπεξιέναι
guard exact the further making no-longer to-sally
τινὲς ἐπ᾽ αὐτοὺς ἔσχον.
some against them could
26.28 ἐπεὶ δὲ προϊόντες ἐντὸς βέλους οἱ τεχνῖται τοῦ ἔργου
when and advancing within missile-range the workmen of-the work
τούτου ἐγένοντο, καρτερώτατα ἤδη ἀμυνόμενοι ἀπὸ τοῦ
this came most-stoutly already defending from the

περιβόλου Ῥωμαῖοι τάς τε σφενδόνας ἐπ᾽ αὐτοὺς καὶ τὰ
circuit-wall Romans the both slings against them and the
τόξα ἐνήργουν. διὸ δὴ οἱ βάρβαροι ἐπενόουν τάδε.
bows worked wherefore indeed the barbarians devised these-things
προκαλύμματα ἐκ τραγείων τριχῶν, ἃ δὴ καλοῦσι 26.29
screens of goats' hair which indeed they-call
Κιλίκια, πάχους τε καὶ μήκους διαρκῶς ἔχοντα,
Cilicia of-thickness both and of-length sufficiently having
ἀρτήσαντες ἐκ ξύλων μακρῶν ἐπίπροσθεν ἀεὶ τὴν
having-hung from timbers long in-front always the
ἄγεσταν ἐργαζομένων ἐτίθεντο (οὕτω γὰρ τὸ ποιούμενον
agesta working they-placed thus for the being-made
τῇ Λατίνων φωνῇ ἐκάλουν Ῥωμαῖοι).
in-the of-Latins tongue called Romans
ἐνταῦθα γὰρ οὔτε πυρφόροι οἰστοὶ οὔτε τὰ ἄλλα βέλη 26.30
there for neither fire-bearing arrows nor the other missiles
ἐξικνεῖσθαι εἶχον, ἀλλ᾽ αὐτοῦ ἐπὶ τῶν προκαλυμμάτων
to-reach could but there on the screens
ἀποκρουόμενα ξύμπαντα ἔμενε.
being-repelled all remained
καὶ τότε Ῥωμαῖοι ἐς δέος μέγα ἐμπεπτωκότες τοὺς 26.31
and then Romans into fear great having-fallen the
πρέσβεις παρὰ Χοσρόην σὺν θορύβῳ πολλῷ ἔπεμπον καὶ
envoys to Chosroes with uproar much sent and
Στέφανον σὺν αὐτοῖς, ἔν γε τοῖς κατ᾽ αὐτὸν ἰατροῖς
Stephanus with them in at-least the in his-time physicians
λόγιον, ὃς δὴ Καβάδην τὸν Περόζου νοσοῦντά ποτε
learned who indeed Cavades the of-Peroz being-sick once
ἰασάμενος κύριος χρημάτων μεγάλων πρὸς αὐτοῦ γέγονεν.
having-healed master of-money great from him became

26.32 ὃς δή, ἐπεὶ παρὰ Χοσρόην ξὺν τοῖς ἄλλοις ἐγένετο,
who indeed when to Chosroes with the others he-came
ἔλεξεν ὧδε "Βασιλέως τὴν φιλανθρωπίαν ἀγαθοῦ γνώρισμα
spoke thus of-king the humanity good sign
πάντες ἐκ παλαιοῦ νενομίκασιν.
all from of-old have-held

26.33 οὐκοῦν, ὦ κράτιστε βασιλεῦ, φόνους σοι καὶ μάχας
therefore O mightiest king murders for-you and battles
ἐργαζομένῳ καὶ πόλεων ἀνδραποδισμοὺς τῶν μὲν ἄλλων
working and of-cities enslavements of-the indeed other
ἴσως ὀνομάτων παρέσται τυχεῖν, τὸ δὲ ἀγαθῷ εἶναι
perhaps names it-will-be-possible to-obtain the and good to-be
δοκεῖν οὐ μήποτε ἔσται.
to-seem not never will-be

26.34 καίτοι πασῶν γε ἥκιστα χρῆν τῇ Ἐδεσσηνῶν
and-yet of-all at-least least it-was-needful to-the of-Edessenes
πόλει παρὰ σοῦ τι ξυμβῆναι φλαῦρον.
city from you anything to-befall mean

26.35 ἐντεῦθεν γὰρ ἔγωγε ὥρμημαι, ὅσπερ σε τῶν
from-here for I set-out who-indeed you of-the-things
ἐσομένων οὐδὲν προειδὼς ἐξέθρεψά τε καὶ τῷ πατρὶ
about-to-be nothing foreseeing I-reared both and to-the father
τῷ σῷ ξύμβουλος γεγονώς, ἐφ' ᾧ σε τῆς ἀρχῆς
the your adviser having-become on which you of-the rule
διάδοχον καταστήσεται, σοὶ μὲν τῆς Περσῶν βασιλείας
successor he-will-appoint for-you indeed of-the of-Persians kingdom
αἰτιώτατος γέγονα, τῇ δὲ πατρίδι τῶν παρόντων κακῶν.
most-responsible have-become for-the and fatherland of-the present evils

οἱ γὰρ ἄνθρωποι τὰ πολλὰ τῶν ἀτυχημάτων σφίσιν 26.36
the for men the most of-the misfortunes on-them
αὐτοῖς ἐκ τοῦ ἐπὶ πλεῖστον τῶν ξυμβησομένων
selves from the on most of-the-things about-to-befall
προστρίβονται.
bring
ἀλλ᾽ εἴ τίς σε τῆς τοιαύτης εὐεργεσίας εἰσέρχεται μνήμη, 26.37
but if any you of-the such good-service comes-into memory
μηδὲν ἡμᾶς ἐργάσῃ περαιτέρω κακόν, ταύτην διδούς μοι
nothing us do further evil this giving to-me
τὴν ἀμοιβήν, ἐξ ἧς σοι, ὦ βασιλεῦ, τὸ μὴ δοκεῖν
the requital from which for-you O king the not to-seem
ὠμοτάτῳ εἶναι ξυμβήσεται.” Στέφανος μὲν τοσαῦτα εἶπε.
most-cruel to-be will-befall Stephanus indeed so-much said
Χοσρόης δὲ οὐ πρότερον ἀπαλλαγήσεσθαι ὡμολόγει 26.38
Chosroes and not before to-depart agreed
ἐνθένδε, εἰ μὴ Πέτρον τε καὶ Περάνιον αὐτῷ
from-here if not Peter both and Peranius to-him
παραδοῖεν Ῥωμαῖοι, ὅτι δή οἱ, δοῦλοί γε ὄντες
they-should-hand-over Romans that indeed to-him slaves at-least being
πατρῷοι, τετολμήκασιν ἀντιτάξασθαι.
by-inheritance they-have-dared to-be-arrayed-against
τοῦτο δὲ ἦν μὴ δρᾶν Ῥωμαίοις ἐν ἡδονῇ ἐστιν, 26.39
this and unless — to-do for-Romans in pleasure it-is
ἀλλὰ δυοῖν αὐτοὺς ἐπάναγκες ἑλέσθαι τὸ ἕτερον ἢ
but of-two them necessary to-choose the one either
πεντακόσια κεντηνάρια χρυσοῦ σφίσι διδόναι, ἢ δέξασθαι
five-hundred centenaria of-gold to-them to-give or to-receive
τῇ πόλει τῶν οἱ ἐπιτηδείων τινάς, οἳ τὰ χρήματα
into-the city of-those him intimates some who the goods
διερευνησάμενοι ἅπαντα τὸν μὲν χρυσόν τε καὶ ἄργυρον,
having-searched-out all the indeed gold both and silver

ὅσον δὴ ἐνταῦθα ξυμβαίνει εἶναι, κομίζοντες ἐς αὐτὸν
as-much-as indeed there it-befalls to-be carrying to him
ἥξουσι, τἄλλα δὲ τοὺς κυρίους ἐάσουσιν ἔχειν.
will-come the-rest and the owners they-will-allow to-have

26.40 ταῦτα μὲν ὁ Χοσρόης ἀπέρριψεν, Ἔδεσσαν ἐξελεῖν
these-things indeed — Chosroes threw-out Edessa to-take
πόνῳ οὐδενὶ ἐλπίδα ἔχων. οἱ δὲ πρέσβεις (ἅπαντα γὰρ
with-toil no hope having the and envoys all for
σφίσιν ἀδύνατα ἔδοξεν εἶναι ὅσα ἐκεῖνος ἀπήγγελλε)
to-them impossible seemed to-be what-things he reported
διαπορούμενοί τε καὶ λίαν ἀσχάλλοντες ἐπὶ τὴν πόλιν
being-at-a-loss both and very distressed toward the city
ἐβάδιζον.
walked

26.41 ἐπεί τε ἐντὸς τοῦ περιβόλου γενόμενοι τὰ παρὰ
when and within the circuit-wall having-got the-things from
Χοσρόου ἀπήγγελλον, θορύβου τε καὶ θρήνων ἡ πόλις
Chosroes they-reported of-uproar both and of-wailings the city
ἔμπλεως ἐγένετο.
full became

26.42 Ἡ μὲν οὖν τοῦ λόφου κατασκευὴ ἐπί τε ὕψος ᾖρετο
the indeed then of-the mound construction to both height rose
μέγα καὶ σπουδῇ πολλῇ ἐπίπροσθεν ᾔει. Ῥωμαῖοι δὲ
great and with-haste much forward went Romans and
οὐκ ἔχοντες ὅ τι καὶ δράσουσι, πάλιν τοὺς πρέσβεις
not knowing what — also they-will-do again the envoys
παρὰ Χοσρόην ἀπέστελλον.
to Chosroes sent

26.43 οἵπερ ἐπειδὴ ἐν τῷ τῶν πολεμίων στρατοπέδῳ ἐγένοντο,
who-indeed when in the of-the enemies camp they-were
περί τε τῶν αὐτῶν δεησόμενοι ἔφασκον ἥκειν, λόγου μὲν
about and the same about-to-beg they-said to-come of-hearing indeed

οὐδ' ὁπωστιοῦν πρὸς Περσῶν ἔτυχον, ὕβρει δὲ καὶ
not-even in-any-way-whatever from Persians they-obtained with-insolence and also
θορύβῳ πολλῷ ἐνθένδε ἐξελαυνόμενοι ἐς τὴν πόλιν ἐχώρουν.
uproar much from-there being-driven-out to the city went
τὰ μὲν οὖν πρῶτα Ῥωμαῖοι τὸ κατὰ τὸν λόφον τεῖχος 26.44
the indeed then first Romans the at the mound wall
ἑτέρᾳ ἐνεχείρουν οἰκοδομίᾳ τινὶ ὑπερβαλέσθαι· ὡς
with-another attempted building some to-overtop as
δὲ καὶ ταύτης τὸ Περσῶν ἔργον πολλῷ καθυπέρτερον
and also than-this the of-Persians work by-much higher
ἐγίνετο ἤδη, τῆς μὲν οἰκοδομίας ἀπέστησαν, Μαρτῖνον
became already from-the indeed building they-desisted Martinus
δὲ πείθουσι τὰ ἀμφὶ τῇ ξυμβάσει τρόπῳ δὴ
and they-persuade the-things about the agreement in-manner indeed
ὅτῳ βούλοιτο διοικήσασθαι. καὶ ὃς ἄγχιστα τοῦ
whatever he-might-wish to-manage and he nearest the
τῶν πολεμίων στρατοπέδου γενόμενος τῶν τισιν ἐν
of-the enemies camp having-come of-the with-some among
Πέρσαις ἀρχόντων ἐς λόγους ἦλθεν.
Persians commanders into words came
οἱ δὲ τὸν Μαρτῖνον ἐξαπατῶντες εἰρηναῖα μὲν σφῶν 26.45
they and — Martinus deceiving peaceful-things indeed their
τὸν βασιλέα βούλεσθαι ἔφασαν, αὐτὸν δὲ ὡς ἥκιστα
the king to-wish said him and as least
οἷόν τε εἶναι τὸν Ῥωμαίων αὐτοκράτορα πείθειν τῆς
possible — to-be the of-Romans autocrat to-persuade of-the
πρὸς Χοσρόην φιλονεικίας ἀφέμενον τὴν εἰρήνην ποτὲ
toward Chosroes contentiousness having-let-go the peace ever
πρὸς αὐτὸν θήσεσθαι·
with him to-make

26.46 ἐπεὶ καὶ Βελισάριον, ὅνπερ τῇ τε δυνάμει καὶ
since also Belisarius whom-indeed in-the both power and
τῷ ἀξιώματι πολὺ Μαρτίνου προὔχειν οὐδ᾽ ἂν
in-the rank much than-Martinus to-excel not-even —
αὐτὸς ἀντείποι, πεῖσαι μὲν ἔναγχος τὸν Περσῶν
he-himself would-gainsay to-have-persuaded indeed lately the of-Persians
βασιλέα, ὄντα δή που ἐν μέσοις Ῥωμαίοις, ἐνθένδε
king being indeed somehow in middle Romans from-there
ἀπαλλάσσεσθαι ἐς τὰ Περσῶν ἤθη, ὑποσχόμενον πρέσβεις
to-depart to the of-Persians haunts having-promised envoys
τε παρ᾽ αὐτὸν οὐκ εἰς μακρὰν ἐκ Βυζαντίου ἀφίξεσθαι
both to him not after long from Byzantium to-be-about-to-come
καὶ τὴν εἰρήνην ἐν τῷ βεβαίῳ κρατύνασθαι, πρᾶξαι
and the peace in the sure to-strengthen to-have-done
δὲ τῶν ὡμολογημένων οὐδέν, ἀδύνατον γεγονότα τὴν
and of-the agreed nothing unable having-become the
Ἰουστινιανοῦ βασιλέως βιάσασθαι γνώμην.
of-Justinian emperor to-force will

27.1 Ἐν τούτῳ δὲ Ῥωμαῖοι ἐποίουν τοιάδε. διώρυχα ἐκ τῆς
in this and Romans did such-things tunnel from the
πόλεως ἔνερθεν τῶν πολεμίων τοῦ χώματος ἐργασάμενοι
city beneath of-the enemies the mound having-made
ἐκέλευον τοὺς ὀρύσσοντας μὴ μεθίεσθαι τοῦ ἔργου τούτου,
bade those digging not to-let-go the work this
ἕως ὑπὸ τὸν λόφον γένωνται μέσον. ταύτῃ γὰρ καῦσαι
until under the mound they-get middle there for to-burn
τὸ χῶμα τοῦτο διενοοῦντο.
the mound this they-intended

προϊούσης δὲ τῆς διώρυχος κατὰ τὸν λόφον μάλιστα 27.2
advancing and the tunnel at the mound most
μέσον πάταγός τις ἐς τῶν Περσῶν τοὺς ὕπερθεν ἑστῶτας
middle crash some to of-the Persians those above standing
ἦλθεν.
came
αἰσθόμενοί τε τοῦ ποιουμένου καὶ αὐτοὶ ἄνωθεν ἀρξάμενοι 27.3
having-perceived and the being-done also themselves from-above having-begun
ἐφ' ἑκάτερα τοῦ μέσου ὤρυσσον, ὅπως λάβοιεν τοὺς
on either-side of-the middle dug so-that they-might-catch the
ἐκείνῃ κακουργοῦντας Ῥωμαίους.
there doing-harm Romans
ὃ δὴ γνόντες Ῥωμαῖοι τούτου μὲν ἀπέσχοντο, 27.4
which indeed having-learned Romans from-this indeed desisted
χοῦν ἐπὶ τὸν κενωθέντα χῶρον ἐπιβαλόντες, ἐκ δὲ
soil onto the emptied place having-thrown from and
ἄκρου χώματος κάτωθεν, ὃ πρὸς τῷ τείχει ἐτύγχανεν
top of-the-mound from-beneath which by the wall happened
ὄν, ξύλα τε καὶ λίθους καὶ χοῦν ἐκφορήσαντες καθάπερ
being timbers both and stones and soil having-carried-out as-if
οἰκίσκου σχῆμα εἰργάσαντο, πρέμνα τε δένδρων τῶν
of-small-house shape made trunks both of-trees of-those
ῥᾷστα καιομένων ξηρὰ ἐνταῦθα ἐσέβαλλον, ἐλαίῳ τε
most-easily burning dry there threw-in with-oil both
καταβεβρεγμένα τῷ ἐκ κέδρου πεποιημένῳ καὶ θείῳ
soaked the from cedar made and with-sulfur
τε καὶ ἀσφάλτῳ πολλῇ.
both and with-bitumen much
καὶ οἱ μὲν ταῦτα ἐν παρασκευῇ εἶχον, οἱ δὲ Περσῶν 27.5
and they indeed these-things in readiness had the and of-Persians
ἄρχοντες πολλάκις ἐντυχόντες Μαρτίνῳ τοιαῦτα μὲν
commanders often having-met with-Martinus such indeed

οἷά πέρ μοι εἴρηται διελέχθησαν, δόκησιν παρεχόμενοι
such-as indeed by-me has-been-told discussed appearance offering
ὡς τοὺς ἀμφὶ τῇ εἰρήνῃ ἐνδέξονται λόγους.
that the about the peace they-will-accept words

27.6 ἐπεὶ δὲ ὁ λόφος αὐτοῖς ἐτετέλεστο ἤδη, καὶ πλησιάζων
when and the mound for-them had-been-completed already and approaching
μὲν τῷ περιβόλῳ τῆς πόλεως, ὕψει δὲ αὐτὸν πολλῷ
indeed the circuit-wall of-the city in-height and it much
ὑπεραίρων ἐπὶ μέγα ἐπῆρτο, Μαρτῖνον μὲν ἀπεπέμψαντο
exceeding to great had-risen Martinus indeed they-sent-away
διαρρήδην ἀπειπόντες τὴν ξύμβασιν, ἔργου δὲ ἔχεσθαι
expressly having-refused the agreement action and to-take-up
τὸ λοιπὸν ἔμελλον.
the further they-were-about

27.7 Διὸ δὴ Ῥωμαῖοι τῶν δένδρων τὰ πρέμνα εὐθὺς
wherefore indeed Romans of-the trees the trunks at-once
ἔκαυσαν ἅπερ ἐς τοῦτο ἡτοίμαστο. τοῦ δὲ πυρὸς
burned which-indeed for this had-been-prepared of-the and fire
μοῖραν μὲν τοῦ χώματός τινα καύσαντος, οὔπω δὲ διὰ
portion indeed of-the mound some having-burned not-yet and through
παντὸς ἐξικνεῖσθαι ἰσχύσαντος, τὰ ξύλα δεδαπανῆσθαι
all to-reach having-been-able the timbers to-have-been-consumed
πάντα ἔτυχεν. ἀεὶ γὰρ ἐσέβαλον ἐς τὴν διώρυχα ξύλα
all it-happened always for they-threw into the tunnel timbers
ἕτερα, οὐδένα ἀνιέντες καιρόν.
other no letting-up moment

27.8 ἤδη δὲ τοῦ πυρὸς ἅπαν ἐνεργοῦντος τὸ χῶμα, καπνός
already and the fire all working-through the mound smoke
τις ὕπερθεν πανταχῆ τοῦ λόφου ἐφαίνετο νύκτωρ,
some above everywhere of-the mound appeared by-night

Ῥωμαῖοί τε οὔπω ἐθέλοντες αἴσθησιν τοῦ ποιουμένου
Romans and not-yet wishing perception of-the being-done
Πέρσαις παρέχειν ἐπενόουν τάδε.
to-Persians to-offer devised these-things
ἀνθράκων τε καὶ πυρὸς ἀγγεῖα μικρὰ ἐμπλησάμενοι, 27.9
of-coals both and of-fire vessels small having-filled
ταῦτά τε καὶ πυρφόρους οἰστοὺς τοῦ χώματος πανταχόσε
these both and fire-bearing arrows of-the mound everywhere
συχνὰ ἔπεμπον· ἃ δὴ οἱ Πέρσαι, ὅσοι φυλακὴν
frequent sent which indeed the Persians as-many-as guard
ἐνταῦθα εἶχον, ξὺν πάσῃ σπουδῇ περιιόντες ἐσβέννυον
there had with all haste going-about quenched
καὶ ἀπ᾽ αὐτοῦ φύεσθαι τὸν καπνὸν ᾤοντο.
and from it to-arise the smoke they-thought
προϊόντος δὲ τοῦ κακοῦ πλήθει μὲν πολλῷ ἐβοήθουν 27.10
advancing and the evil with-number indeed great came-to-help
οἱ βάρβαροι, βάλλοντες δὲ αὐτοὺς ἀπὸ τοῦ περιβόλου
the barbarians shooting and them from the circuit-wall
Ῥωμαῖοι πολλοὺς ἔκτειναν.
Romans many killed
οὗ δὴ καὶ Χοσρόης ἀμφὶ ἡλίου ἀνατολὰς ἦλθε, καί 27.11
where indeed also Chosroes about of-sun rising came and
οἱ τὸ πλεῖστον τοῦ στρατοῦ εἵπετο, ἔς τε τὸν λόφον
him the most of-the army followed onto and the mound
ἀναβὰς πρῶτος ἔλαβε τοῦ κακοῦ αἴσθησιν.
having-gone-up first got of-the evil perception
ἔνερθεν γὰρ ἀπεφήνατο τοῦ καπνοῦ τὸ αἴτιον εἶναι, οὐκ 27.12
from-below for he-declared of-the smoke the cause to-be not
ἀφ᾽ ὧν ἐσηκόντιζον οἱ πολέμιοι, βοηθεῖν τε κατὰ τάχος
from what shot-in the enemies to-help and with speed
ἐκέλευε τὸ στράτευμα ὅλον.
he-bade the army whole

27.13 καὶ Ῥωμαῖοι θαρσοῦντες ἐς αὐτοὺς ὕβριζον, τῶν δὲ
and Romans taking-courage at them jeered of-the and
βαρβάρων οἱ μέν τινες χοῦν, οἱ δὲ καὶ ὕδωρ
barbarians the-ones indeed some soil the-others and also water
ἐπιβάλλοντες ᾗ ὁ καπνὸς διεφαίνετο, περιέσεσθαι τοῦ
throwing-on where the smoke showed-through to-prevail-over the
δεινοῦ ἤλπιζον, ἀνύειν μέντοι οὐδὲν οὐδαμῇ εἶχον.
terrible-thing hoped to-accomplish however nothing in-any-way could
27.14 ᾗ τε γὰρ ὁ χοῦς ἐπιβληθείη, ταύτῃ μὲν ὁ καπνός,
where both for the soil should-be-thrown there indeed the smoke
ὡς τὸ εἰκός, ἀνεστέλλετο, ἑτέρωθι δὲ οὐκ εἰς μακρὰν
as the likely was-checked elsewhere and not after long
ἀνεδίδοτο, αὐτὸν τοῦ πυρὸς καὶ βιάζεσθαι τὴν ἔξοδον ὅπη
was-sent-up it the fire also to-force the outlet where
δύναιτο ἀναγκάζοντος· τό τε ὕδωρ ᾗ μάλιστα ἐπισκήψειε,
it-could compelling the both water where most it-should-fall
πολλῷ ἔτι μᾶλλον τήν τε ἄσφαλτον καὶ τὸ θεῖον ἐνεργεῖν
much still more the both bitumen and the sulfur to-work
ἴσχυεν ἐπί τε τὴν ἐν ποσὶν ὕλην ἀκμάζειν ἐποίει, καὶ τὸ
was-able onto both the at feet material to-flourish made and the
πῦρ ἐπὶ τὰ πρόσω ἀεὶ ἐνῆγεν, ἐπεὶ τοῦ χώματος ἐντὸς
fire to the forward always led since of-the mound within
οὐδαμῇ τοσοῦτον ἐξικνεῖσθαι τοῦ ὕδατος εἶχεν ὅσον
in-no-way so-much to-reach of-the water could as-much-as
τῷ ὑπερβάλλοντι κατασβέσαι τὴν φλόγα οἷόν τε εἶναι.
by-the excess to-quench the flame able — to-be
27.15 ὁ δὲ καπνὸς ἀμφὶ δείλην ὀψίαν τοσοῦτος ἐγίνετο ὥστε
the and smoke about evening late so-great became that
καὶ τοῖς Καρρηνοῖς καὶ ἄλλοις τισὶ πολλῷ ἐπέκεινα
also to-the Carrhenes and others some much beyond
ᾠκημένοις ἔνδηλος εἶναι.
dwelling evident to-be

Περσῶν δὲ καὶ Ῥωμαίων πολλῶν ὕπερθεν ἀναβεβηκότων 27.16
of-Persians and also of-Romans many above having-gone-up
τοῦ χώματος, μάχης τε καὶ ὠθισμοῦ ἐνταῦθα ξυστάντος,
of-the mound of-battle both and of-shoving there having-arisen
ἐνίκων Ῥωμαῖοι.
won Romans
τότε καὶ ἡ φλὸξ λαμπρῶς ἐκδοθεῖσα ὑπὲρ τὸ χῶμα 27.17
then also the flame brilliantly having-broken-out above the mound
ἐφαίνετο, Πέρσαι δὲ τοῦ μὲν ἔργου τούτου ἀπέσχοντο.
appeared Persians and from-the indeed work this desisted
Ἕκτῃ δὲ ἀπὸ ταύτης ἡμέρᾳ, ὄρθρου βαθέος, μοίρᾳ τινὶ 27.18
on-sixth and from this day at-dawn deep part some
τοῦ περιβόλου λάθρα ἐπέσκηψαν κλίμακας ἔχοντες, οὗ
of-the circuit-wall secretly attacked ladders having where
δὴ τὸ φρούριον ἐπωνόμασται.
indeed the fort has-been-named
τῶν δὲ φυλακὴν ἐνταῦθα ἐχόντων Ῥωμαίων πρᾷόν τινα 27.19
of-the and guard there holding Romans gentle some
καθευδόντων ὕπνον, ἅτε τῆς νυκτὸς πρὸς πέρας ἰούσης,
sleeping sleep as the night to end going
ἡσυχῇ τὰς κλίμακας τῷ τείχει ἐρείσαντες ἀνέβαινον
quietly the ladders against-the wall having-set went-up
ἤδη.
already
τῶν δέ τις ἀγροίκων μόνος ἐγρηγορὼς ἐν Ῥωμαίοις 27.20
of-the and some countrymen alone awake among Romans
ἅπασιν ἔτυχεν, ὃς δὴ ξὺν βοῇ τε καὶ θορύβῳ πολλῷ
all happened who indeed with shout both and uproar much
ἅπαντας ἤγειρε.
all roused

27.21 καὶ μάχης καρτερᾶς γενομένης ἡσσῶνται Πέρσαι, ἔς
and of-battle fierce having-come-about are-beaten Persians into
τε τὸ στρατόπεδον ἀνεχώρησαν, αὐτοῦ λιπόντες τὰς
and the camp withdrew there having-left the
κλίμακας, ἅσπερ κατ᾽ ἐξουσίαν Ῥωμαῖοι ἀνεῖλκον.
ladders which-indeed at leisure Romans drew-up

27.22 Χοσρόης δὲ ἀμφὶ ἡμέραν μέσην πολλήν τινα τοῦ
Chosroes and about day mid great some of-the
στρατοῦ μοῖραν ἐπὶ τὴν μεγάλην καλουμένην πύλην ὡς
army portion against the great called gate as
τειχομαχήσοντας ἔπεμψεν.
about-to-storm-the-wall sent

27.23 οἷς δὴ Ῥωμαῖοι ὑπαντιάσαντες οὐ στρατιῶται μόνον,
whom indeed Romans having-met not soldiers only
ἀλλὰ καὶ ἀγροῖκοι καὶ τοῦ δήμου τινὲς καὶ μάχῃ
but also countrymen and of-the people some and in-battle
νικήσαντες παρὰ πολὺ τοὺς βαρβάρους ἐτρέψαντο.
having-conquered by much the barbarians routed

27.24 ἔτι τε Περσῶν διωκομένων Παῦλος ἑρμηνεὺς παρὰ Χοσρόου
still both Persians being-pursued Paulus interpreter from Chosroes
ἦκων ἐς μέσους Ῥωμαίους ἀπήγγελλε Ῥεκινάριον ἐπὶ τῇ
coming into middle Romans reported Rhecinarius for the
εἰρήνῃ ἐκ Βυζαντίου ἥκειν, οὕτω τε ἀμφότεροι διελύθησαν.
peace from Byzantium to-come thus and both-sides parted

27.25 ἤδη δέ τισι πρότερον ἡμέραις ὁ Ῥεκινάριος ἐς τὸ τῶν
already and some before days — Rhecinarius to the of-the
βαρβάρων στρατόπεδον ἀφῖκτο.
barbarians camp had-arrived

27.26 ἀλλὰ τοῦτο ἐς Ῥωμαίους ὡς ἥκιστα ἐξήνεγκαν Πέρσαι,
but this to Romans as least disclosed Persians
καραδοκοῦντες δηλονότι τὴν ἐς τὸ τεῖχος ἐπιβουλήν,
awaiting evidently the against the wall plot

ὅπως, ἢν μὲν αὐτὸ ἐξελεῖν δύνωνται, μηδαμῇ ἐς
so-that if indeed it to-take they-be-able in-no-way against
τὰς σπονδὰς παρανομεῖν δόξωσιν, ἡσσηθέντες δέ,
the treaty to-violate they-may-seem beaten and
ὅπερ ἐγένετο, τὰ ἐς τὴν ξύμβασιν, Ῥωμαίων
which-indeed happened the-things for the agreement Romans
προκαλουμένων πρὸς αὐτάς, θήσονται.
proposing with them they-will-establish
ἐπεὶ δὲ Ῥεκινάριος ἐγένετο ἔσω πυλῶν, Πέρσαι μὲν 27.27
when and Rhecinarius got inside gates Persians indeed
ἠξίουν τοὺς τὴν εἰρήνην διοικησομένους παρὰ Χοσρόην
claimed those the peace about-to-manage to Chosroes
αὐτίκα δὴ μάλα ἰέναι, Ῥωμαῖοι δὲ σταλήσεσθαι
at-once indeed very to-go Romans and to-be-sent
πρέσβεις ἡμέραις τρισὶν ὕστερον ἔφασαν· τανῦν γὰρ σφίσι
envoys in-days three later said now for for-them
κακῶς τοῦ σώματος Μαρτῖνον τὸν στρατηγὸν ἔχειν.
badly of-the body Martinus the general to-be
Εἶναί τε ὑποτοπάζων οὐχ ὑγιᾶ τὸν λόγον Χοσρόης τὰ 27.28
to-be and suspecting not sound the word Chosroes the-things
ἐς τὴν παράταξιν ἐξηρτύετο. καὶ τότε μὲν πλίνθων
for the battle-line prepared and then indeed of-bricks
πάμπολύ τι χρῆμα ἐπὶ τὸ χῶμα ἐπέβαλε, δυοῖν δὲ
very-great some quantity on the mound threw two and
ὕστερον ἡμέραιν παντὶ τῷ στρατῷ ὡς τειχομαχήσων
later days with-all the army as about-to-storm-the-wall
ἐπὶ τὸν τῆς πόλεως περίβολον ἦλθεν.
against the of-the city circuit-wall came

27.29 ἔν τε πύλῃ ἑκάστῃ τῶν τινας ἀρχόντων καὶ μέρος τι τοῦ
at both gate each of-the some commanders and part some of-the
στρατεύματος καταστησάμενος ἅπαν τε τὸ τεῖχος ταύτῃ
army having-stationed all both the wall thus
περιβαλὼν κλίμακάς τε αὐτῷ καὶ μηχανὰς προσῆγεν.
having-surrounded ladders both to-it and engines brought-up
27.30 ὄπισθεν δὲ τοὺς Σαρακηνοὺς ἅπαντας ξὺν τῶν Περσῶν
behind and the Saracens all with of-the Persians
τισιν ἔταξεν, οὐκ ἐφ' ᾧ τῷ περιβόλῳ προσβάλωσιν,
some he-posted not on which to-the circuit-wall they-should-assault
ἀλλ' ὅπως ἁλισκομένης τῆς πόλεως αὐτοὶ τοὺς φεύγοντας
but so-that being-taken the city they the fleeing
σαγηνεύσαντες λάβωσι.
having-netted might-catch
27.31 τοιαύτῃ μὲν γνώμῃ τὸ στράτευμα ὁ Χοσρόης οὕτω
with-such indeed purpose the army — Chosroes thus
διέταξε. τῆς δὲ μάχης πρωὶ ἀρξαμένης κατ' ἀρχὰς
drew-up of-the and battle early having-begun at the-beginning
μὲν τὰ Περσῶν καθυπέρτερα ἦν.
indeed the-things of-Persians superior were
27.32 πολλοὶ γὰρ πρὸς λίαν ὀλίγους ἐμάχοντο, ἐπεὶ τῶν
many for against very few fought since of-the
Ῥωμαίων οἱ πλεῖστοι ἀνήκοοί τε τῶν ποιουμένων
Romans the most ignorant both of-the-things being-done
καὶ ἀπαράσκευοι παντάπασιν ἦσαν.
and unprepared altogether were
27.33 προϊούσης δὲ τῆς ξυμβολῆς θορύβων τε καὶ ταραχῆς
advancing and the engagement of-uproars both and of-confusion
ἔμπλεως ἡ πόλις ἐγίνετο, καὶ ξύμπαντες ἤδη αὐταῖς
full the city became and all already with-the-very
γυναιξὶ καὶ παιδαρίοις ἐπὶ τὸ τεῖχος ἀνέβαινον.
women and little-children onto the wall went-up

οἱ μὲν οὖν ἐν ἡλικίᾳ ξὺν τοῖς στρατιώταις καρτερώτατα 27.34
those indeed then in age with the soldiers most-stoutly
τοὺς πολεμίους ἠμύνοντο, καὶ τῶν ἀγροίκων πολλοὶ ἐς
the enemies fought-off and of-the countrymen many against
τοὺς βαρβάρους ἔργα θαυμαστὰ ἐπεδείκνυντο.
the barbarians deeds wonderful displayed
παῖδες δὲ καὶ γυναῖκες ξὺν τοῖς γεγηρακόσι λίθους τε 27.35
children and also women with the aged stones both
τοῖς μαχομένοις ξυνέλεγον καὶ τἆλλα ὑπούργουν.
for-the fighting collected and the-other-things served
τινὲς δὲ καὶ λέβητας ἐλαίου πολλοὺς ἐμπλησάμενοι πυρί 27.36
some and also cauldrons with-oil many having-filled with-fire
τε αὐτοὺς πανταχῆ τοῦ τείχους ἐς διαρκῆ θερμήναντες
both them everywhere of-the wall for sufficient having-heated
χρόνον καὶ ζέον ὑπεράγαν τὸ ἔλαιον περιρραντηρίοις
time and boiling exceedingly the oil with-sprinklers
τισὶν ἐπιχέοντες ἔτι μᾶλλον τοὺς πολεμίους τοὺς τῷ
some pouring-on still more the enemies those the
περιβόλῳ προσιόντας ἐλύπουν.
circuit-wall approaching hurt
ἤδη μὲν οὖν ἀπειπόντες οἱ Πέρσαι τὰ ὅπλα ἐρρίπτουν, 27.37
already indeed then having-given-up the Persians the arms threw-away
τῷ τε βασιλεῖ ἐς ὄψιν ἐλθόντες πρὸς τὸν πόνον
to-the and king into sight having-come against the toil
ἀντέχειν οὐκέτι ἔφασκον οἷοί τε εἶναι.
to-hold-out no-longer said able — to-be
θυμῷ δὲ πολλῷ ὁ Χοσρόης ἐχόμενος καὶ ξὺν ἀπειλῇ 27.38
with-anger and much — Chosroes held and with threat
ἐγκελευόμενος ἅπασιν ἐπὶ τοὺς πολεμίους ἐνῆγεν.
urging all against the enemies led-on

27.39 οἱ δὲ κραυγῇ καὶ θορύβῳ πολλῷ τούς τε πύργους
they and with-shout and uproar much the both towers
καὶ τὰς ἄλλας μηχανὰς τῷ τείχει προσῆγον καὶ τὰς
and the other engines to-the wall brought-up and the
κλίμακας ἐπετίθεντο, ὡς τὴν πόλιν αὐτοβοεὶ ἐξαιρήσοντες.
ladders set-up as the city by-storm about-to-take
27.40 τῶν δὲ Ῥωμαίων συχνά τε βαλλόντων καὶ παντὶ σθένει
of-the and Romans frequent both shooting and with-all strength
ἀμυνομένων, τρέπονται μὲν κατὰ κράτος οἱ βάρβαροι,
defending are-routed indeed by force the barbarians
ἀναχωροῦντα δὲ τὸν Χοσρόην ἐτώθαζον Ῥωμαῖοι, ἐς
withdrawing and — Chosroes mocked Romans to
τειχομαχίαν παρακαλοῦντες.
wall-fighting inviting
27.41 μόνος δὲ Ἀζαρέθης ἀμφὶ πύλας τὰς Σοΐνας καλουμένας
alone and Azarethes about gates the Soinae called
ξὺν τοῖς ἑπομένοις ἐμάχετο, οὗ δὴ Τριπυργίαν καλοῦσι
with those following fought where indeed Tripyrgia they-call
τὸν χῶρον.
the place
27.42 Τῶν δὲ ταύτῃ Ῥωμαίων οὐκ ὄντων σφίσιν ἀξιομάχων,
of-the and there Romans not being for-them a-match
ἀλλὰ καὶ πρὸς τὰς προσβολὰς ἀπειπόντων, ἤδη τὸ
but even toward the assaults having-given-up already the
ἐκτὸς τεῖχος, ὃ δὴ καλοῦσι προτείχισμα, πολλαχῇ
outer wall which indeed they-call proteichisma in-many-places
διελόντες οἱ βάρβαροι ἰσχυρότατα τοῖς ἐκ τοῦ μεγάλου
having-breached the barbarians most-mightily those from the great
περιβόλου ἀμυνομένοις ἐνέκειντο, ἕως αὐτοῖς Περάνιος
circuit-wall defending pressed until them Peranius

ξύν τε στρατιώταις πολλοῖς καὶ τῶν Ἐδεσσηνῶν τισιν
with both soldiers many and of-the Edessenes some
ἐπεξῆλθε μάχῃ τε νικήσας ἐξήλασε.
sallied in-battle and having-conquered drove-off
καὶ ἡ τειχομαχία πρωὶ ἀρξαμένη ἐτελεύτα εἰς δείλην 27.43
and the wall-fighting early having-begun ended at evening
ὀψίαν, ἀμφότεροί τε τὴν νύκτα ἐκείνην ἡσυχῇ ἔμενον,
late both-sides and the night that quietly remained
Πέρσαι μὲν περί τε τοῖς χαρακώμασι δεδιότες καὶ
Persians indeed about both the palisades fearing and
σφίσιν αὐτοῖς, Ῥωμαῖοι δὲ λίθους τε ξυλλέγοντες ἐς
for-them selves Romans and stones both collecting onto
τὰς ἐπάλξεις καὶ τἄλλα ἐν παρασκευῇ τῇ πάσῃ
the battlements and the-other-things in readiness the all
ποιούμενοι, ὡς τῇ ὑστεραίᾳ μαχούμενοι τοῖς πολεμίοις
making as on-the next-day about-to-fight with-the enemies
ἐπὶ τὸ τεῖχος προσβαλοῦσιν.
against the wall about-to-attack
ἡμέρᾳ μὲν οὖν τῇ ἐπιγινομένῃ τῶν βαρβάρων οὐδεὶς 27.44
on-day indeed then the following of-the barbarians no-one
ἐπὶ τὸν περίβολον ἦλθε, τῇ δὲ μετ᾽ ἐκείνην μοῖρα
against the circuit-wall came on-the and after that part
μὲν τοῦ στρατοῦ Χοσρόου ἐγκελευομένου ταῖς Βαρλαοῦ
indeed of-the army Chosroes urging on-the of-Barlaus
καλουμέναις πύλαις ἐπέσκηψεν, ὑπαντιασάντων δὲ
called gate fell meeting and
Ῥωμαίων αὐτοῖς ἡσσήθησάν τε παρὰ πολὺ τῇ μάχῃ
Romans them they-were-beaten both by much in-the battle
καὶ δι᾽ ὀλίγου ἐς τὸ στρατόπεδον ἀνεχώρησαν.
and in little into the camp withdrew

27.45 καὶ τότε Παῦλος ὁ Περσῶν ἑρμηνεὺς παρὰ τὸ τεῖχος
and then Paulus the of-Persians interpreter to the wall
ἦκων Μαρτῖνον ἐκάλει, ἐφ' ᾧ τὰ ἐς τὴν ξύμβασιν
coming Martinus called on which the-things for the agreement
διοικήσηται.
he-might-manage

27.46 οὕτω τε Μαρτίνου τοῖς Περσῶν ἄρχουσιν ἐς λόγους
thus both Martinus with-the of-Persians commanders into words
ἐλθόντος ξυνέβησαν, καὶ πέντε κεντηνάρια πρὸς τῶν
having-come they-agreed and five centenaria from the
Ἐδεσσηνῶν ὁ Χοσρόης λαβὼν ἐν γράμμασιν αὐτοῖς
Edessenes — Chosroes having-received in writing to-them
τὴν ὁμολογίαν ἀπέλιπε τοῦ μηδὲν Ῥωμαίοις περαιτέρω
the agreement left of-the nothing to-Romans further
λυμήνασθαι, τά τε χαρακώματα πάντα ἐμπρήσας ἐπ'
to-harm the and palisades all having-burned to
οἴκου ἀνεχώρησε παντὶ τῷ στρατῷ.
home withdrew with-all the army

XXVII · THE TRUCE AND THE LAZIC WAR

A five-year truce is bought with twenty centenaria; Arethas defeats Alamundaras. A false embassy's plot on Daras is stopped at the border, yet Justinian feasts the envoy lavishly, and Pharsanses betrays to Gubazes a plan to kill him. Procopius describes the Phasis and Lazica. Dagisthaeus besieges Petra but waits for rewards instead of firing the wall; Mermeroes marches to relieve it.

28.1 Ὑπὸ τὸν χρόνον τοῦτον Ῥωμαίων τετελευτήκασι στρατηγοὶ
about the time this of-Romans have-died generals
δύο, Ἰοῦστός τε ὁ βασιλέως ἀνεψιὸς καὶ Περάνιος ὁ
two Justus both the of-emperor cousin and Peranius the

Ἴβηρ, Ἰοῦστος μὲν νόσῳ διαφθαρείς, Περανίῳ δὲ συνέβη
Iberian Justus indeed by-disease having-perished for-Peranius and it-befell
ἐν κυνηγεσίῳ τοῦ ἵππου ἐκπεπτωκότι διαρραγῆναι.
in hunting from-the horse having-fallen to-be-ruptured
διὸ δὴ ἀντ᾽ αὐτῶν βασιλεὺς ἑτέρους καταστησάμενος 28.2
wherefore indeed instead-of them emperor others having-appointed
ἔπεμψε Μάρκελλόν τε, τὸν ἀδελφιδοῦν τὸν αὐτοῦ ἄρτι
sent Marcellus both the nephew the his just-now
γενειάσκοντα, καὶ Κωνσταντιανόν, ὃς δὴ ὀλίγῳ πρότερον
growing-a-beard and Constantianus who indeed a-little before
ἅμα Σεργίῳ παρὰ Χοσρόην πρεσβεύων ἐστάλη.
together-with Sergius to Chosroes going-as-envoy was-sent
ἔπειτα δὲ Ἰουστινιανὸς βασιλεὺς πρέσβεις παρὰ Χοσρόην 28.3
then and Justinian emperor envoys to Chosroes
ἐπὶ τῇ ξυμβάσει Κωνσταντιανόν τε καὶ Σέργιον ἔπεμψεν.
for the agreement Constantianus both and Sergius sent
οἱ δὲ αὐτὸν καταλαμβάνουσιν ἐν Ἀσσυρίοις, οὗ δὴ 28.4
they and him overtake in Assyrians where indeed
πολίσματα δύο Σελεύκειά τε καὶ Κτησιφῶν ἐστι,
towns two Seleucia both and Ctesiphon are
Μακεδόνων αὐτὰ δειμαμένων οἳ μετὰ τὸν Φιλίππου
Macedonians them having-built who after the of-Philip
Ἀλέξανδρον Περσῶν τε ἦρξαν καὶ τῶν ταύτῃ ἐθνῶν.
Alexander Persians both ruled and the there nations
ἄμφω δὲ ταῦτα Τίγρης ποταμὸς διορίζει· οὐ γὰρ ἄλλην 28.5
both and these Tigris river divides not for other
χώραν μεταξὺ ἔχουσιν.
land between they-have

28.6 ἐνταῦθα ἐντυχόντες Χοσρόῃ οἱ πρέσβεις ἠξίουν μὲν τὰ
there having-met-with Chosroes the envoys asked indeed the
ἐπὶ τῆς Λαζικῆς χωρία Ῥωμαίοις ἀποδοῦναι, βεβαιότατα
in — Lazica places to-Romans to-give-back most-securely
δὲ πρὸς αὐτοὺς τὰ ἀμφὶ τῇ εἰρήνῃ κρατύνασθαι.
and with them the-things about the peace to-strengthen
28.7 Χοσρόης δὲ οὐ ῥᾴδιον αὐτοὺς ἔφασκεν εἶναι ἀλλήλοις
Chosroes and not easy them said to-be with-one-another
ξυμβῆναι, ἢν μή τινα ἐκεχειρίαν θέμενοι πρότερον
to-agree unless — some truce having-made first
οὕτω τε ἀδεέστερον ἀεὶ ἐς ἀλλήλους φοιτῶντες τά
thus and more-fearlessly always to one-another going the
τε διάφορα διαλύσουσι καὶ τὰ τῆς εἰρήνης ἐν τῷ
both differences they-will-end and the-things of-the peace in the
ἀσφαλεῖ τὸ λοιπὸν θήσονται.
safety the further will-establish
28.8 χρῆναι δὲ ὑπὲρ τῆς ἀεὶ ἐκεχειρίας χρήματά τέ οἱ
to-be-needful and for the always truce money both to-him
τὸν Ῥωμαίων αὐτοκράτορα δοῦναι καί τινα Τριβοῦνον
the of-Romans autocrat to-give and some Tribunus
ὄνομα ἰατρὸν πέμψαι, ἐφ᾽ ᾧ οἱ ξυνδιατρίψει τακτόν
by-name physician to-send on which with-him he-will-stay fixed
τινα χρόνον.
some time
28.9 ἐτύγχανε γὰρ ὁ ἰατρὸς οὗτος νόσου τε αὐτὸν
happened for the physician this from-disease both him
ἀπαλλάξας χαλεπῆς πρότερον καὶ ἀπ᾽ αὐτοῦ φίλος τε
having-freed harsh before and from it friend both
καὶ ποθεινὸς ἐς τὰ μάλιστα ὤν.
and longed-for to the most being

ταῦτα ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἤκουσε, τόν τε 28.10
these-things when emperor Justinian heard — both
Τριβοῦνον καὶ τὰ χρήματα εὐθὺς ἔπεμψε ξυνιόντα ἐς
Tribunus and the money at-once sent amounting to
κεντηνάρια εἴκοσιν.
centenaria twenty
οὕτω τε αἱ σπονδαὶ γεγόνασι Ῥωμαίοις τε καὶ 28.11
thus and the truce have-come-about for-Romans both and
Πέρσαις ἐς ἐνιαυτοὺς πέντε, δέκατόν τε καὶ ἔνατον ἔτος
for-Persians for years five tenth both and ninth year
Ἰουστινιανοῦ βασιλέως τὴν αὐτοκράτορα ἀρχὴν ἔχοντος.
Justinian emperor the autocratic rule having
Ὀλίγῳ δὲ ὕστερον Ἀρέθας τε καὶ Ἀλαμούνδαρος οἱ 28.12
a-little and later Arethas both and Alamundaras the
τῶν Σαρακηνῶν ἄρχοντες πόλεμον πρὸς ἀλλήλους κατὰ
of-the Saracens rulers war against one-another by
μόνας διέφερον, οὔτε Ῥωμαίων οὔτε Περσῶν ἀμυνόντων
alone carried-on neither Romans nor Persians helping
σφίσι.
them
καὶ Ἀλαμούνδαρος μὲν ἕνα τῶν Ἀρέθα παίδων ἵππους 28.13
and Alamundaras indeed one of-the of-Arethas sons horses
νέμοντα ἐξ ἐπιδρομῆς ἑλὼν τῇ Ἀφροδίτῃ εὐθὺς ἔθυσε,
grazing by raid having-taken — to-Aphrodite at-once sacrificed
καὶ ἀπ᾽ αὐτοῦ ἐγνώσθη οὐ καταπροΐεσθαι τὰ Ῥωμαίων
and from it was-known not to-betray the of-Romans
πράγματα Πέρσαις Ἀρέθαν.
affairs to-Persians Arethas
μετὰ δὲ ξυνίασι μὲν ἐς μάχην ἑκάτεροι παντὶ τῷ στρατῷ, 28.14
after and come-together indeed into battle both-sides with-all the army
νικῶσι δὲ κατὰ κράτος οἱ ξὺν τῷ Ἀρέθᾳ, τρεψάμενοί τε
conquer and by force those with — Arethas having-routed and

τοὺς πολεμίους πολλοὺς ἔκτειναν. καὶ παρ᾽ ὀλίγον Ἀρέθας
the enemies many killed and by little Arethas
ἦλθε δύο τῶν Ἀλαμουνδάρου παίδων ζῶντας ἑλεῖν, οὐ μέντοι
came two of-the of-Alamundaras sons alive to-take not however
γε εἷλε. τὰ μὲν οὖν Σαρακηνῶν ταύτῃ πη εἶχεν.
at-least took the-things indeed then of-Saracens thus somehow were
28.15 Χοσρόης δέ, ὁ Περσῶν βασιλεύς, ἔνδηλος γέγονε τὴν
Chosroes and the of-Persians king evident became the
ἐκεχειρίαν νῷ δολερῷ πρὸς Ῥωμαίους πεποιημένος,
truce with-mind treacherous toward Romans having-made
ἐφ᾽ ᾧ δὴ αὐτοὺς διὰ τὴν εἰρήνην ἀναπεπτωκότας
on which indeed them because-of the peace relaxed
λαβὼν ἀνήκεστόν τι ἐργάσεται.
having-caught incurable something he-will-do
28.16 τρίτῳ γὰρ τῆς ἐκεχειρίας ἐνιαυτῷ μηχανᾶται τοιάδε·
in-third for of-the truce year he-contrives such-things
ἦστην ἐν Πέρσαις ἀδελφοὶ δύο, Φάβριζός τε καὶ
there-were-two among Persians brothers two Phabrizus both and
Ἰσδιγούσνας, ἀρχὰς μὲν περιβεβλημένω ἐνταῦθα μεγίστας
Isdigusnas offices indeed having-beld there greatest
καὶ ἄλλως λογισμῷ πονηροτάτω Περσῶν ἁπάντων καὶ
and otherwise in-reasoning most-wicked of-Persians all and
δόξαν ἐπὶ τῇ δεινότητι καὶ κακοτροπίᾳ πολλὴν ἔχοντε.
repute for the cleverness and malice much having
28.17 βουλευσάμενος οὖν πόλιν Δάρας καταλαβεῖν ἐξ ἐπιδρομῆς
having-planned then city Daras to-seize by raid
καὶ Λαζικῆς ἐξοικίσαι Κόλχους ἅπαντας, Πέρσας δὲ
and from-Lazica to-remove Colchians all Persians and
ἀντ᾽ αὐτῶν οἰκήτορας καταστήσασθαι, τὼ ἄνδρε
instead-of them inhabitants to-establish the-two men
τούτω ἐς ἄμφω τὰ ἔργα ὑπηρετήσοντας εἵλετο·
these for both the works about-to-serve he-chose

ἔρμαιον γὰρ καὶ λόγου πολλοῦ ἄξιον ἐφαίνετο εἶναι 28.18
windfall for and of-word much worthy appeared to-be
γῆν τὴν Κολχίδα σφετερισαμένῳ ἐν τῷ βεβαίῳ τῆς
land the Colchian for-one-having-appropriated in the sure of-the
κτήσεως ἔχειν, ξύμφορον λογισαμένῳ τῇ Περσῶν
possession to-hold advantageous for-one-having-reckoned to-the of-Persians
ἀρχῇ κατὰ πολλὰ ἔσεσθαι τοῦτό γε.
rule in many-ways to-be this at-least
τήν τε γὰρ Ἰβηρίαν ἐν τῷ ἀσφαλεῖ ἐς τὸ ἔπειτα 28.19
— both for Iberia in the safety for the thereafter
ἕξειν, οὐκ ἂν ἔτι ἐχόντων Ἰβήρων ἐφ' οὑστινας
he-will-have not — any-longer having Iberians to whatever
ἀνθρώπων ἀποστάντες σωθήσονται·
men having-revolted they-will-be-saved
ἐπειδὴ γὰρ οἱ τούτων δὴ λογιμώτατοι τῶν βαρβάρων 28.20
since for the of-these indeed most-notable of-the barbarians
ὁμοῦ Γουργένῃ τῷ βασιλεῖ ἐς ἀπόστασιν εἶδον, ὥσπερ
together-with Gurgenes the king to revolt looked as
μοι ἐν τοῖς ἔμπροσθε λόγοις ἐρρήθη, οὔτε βασιλέα
by-me in the former accounts it-has-been-told neither king
σφίσι καταστήσεσθαι τὸ ἐνθένδε ξυνεχώρουν Πέρσαι οὔτε
for-themselves to-appoint the from-then allowed Persians nor
αὐτογνωμονοῦντες Περσῶν κατήκοοι Ἴβηρες ἦσαν, ἀλλ'
independent to-Persians subject Iberians were but
ὑποψίᾳ τε καὶ ἀπιστίᾳ ἐς ἀλλήλους πολλῇ εἶχοντο.
with-suspicion both and with-distrust toward one-another much were-held
ἔνδηλοί τε Ἴβηρες ἦσαν δυσανασχετοῦντές τε ἰσχυρότατα 28.21
evident and Iberians were being-discontented both most-strongly
καὶ νεωτεριοῦντες οὐ πολλῷ ὕστερον, ἤν τινός ποτε
and about-to-revolt not much later if any ever
καιροῦ λαβέσθαι δυνατοὶ εἶεν.
opportunity to-seize able they-should-be

28.22 καὶ πρὸς Οὔννων τῶν Λαζικῇ προσοίκων ἀδῄωτον μὲν
and from Huns the to-Lazica neighboring unravaged indeed
τὴν Περσῶν ἀρχὴν ἐς ἀεὶ ἔσεσθαι, ῥᾷον δὲ καὶ
the of-Persians empire for ever to-be more-easily and also
ἀπονώτερον αὐτοὺς τῇ Ῥωμαίων ἀρχῇ ἐπιπέμψειν, ἡνίκα
with-less-toil them on-the of-Romans empire to-send-against when
ἂν αὐτῷ βουλομένῳ εἴη. οὐ γὰρ ἄλλο οὐδὲν τοῖς ἐν
— to-him wishing it-might-be not for other anything to-the in
Καυκάσῳ οἰκοῦσι βαρβάροις ἢ ἐπιτείχισμα Λαζικὴν εἶναι.
Caucasus dwelling barbarians than bulwark Lazica to-be
28.23 μάλιστα δὲ πάντων κατὰ τοῦτο ξυνοίσειν πρὸς
most and of-all in this to-be-advantageous toward
Λαζικῆς ἐπικράτησιν ἤλπιζε Πέρσαις, ὅτι δὴ ἐξ αὐτῆς
of-Lazica mastery he-hoped to-Persians that indeed from it
ὁρμώμενοι δυνήσονται οὐδενὶ πόνῳ καταθέοντες καὶ πεζῇ
setting-out they-will-be-able with-no toil overrunning both on-foot
καὶ ναυσὶ τὰ ἐπὶ τοῦ Εὐξείνου καλουμένου πόντου
and with-ships the on the Euxine called sea
χωρία Καππαδόκας μὲν καὶ τοὺς αὐτῶν ἐχομένους
places Cappadocians indeed and the of-them adjoining
Γαλάτας καὶ Βιθυνοὺς παραστήσεσθαι, ἐξ ἐπιδρομῆς δὲ
Galatians and Bithynians to-subdue by raid and
Βυζαντίους αἱρήσειν, οὐδενὸς σφίσιν ἀντιστατοῦντος.
Byzantines to-take no-one them opposing
28.24 τούτων μὲν δὴ ἕνεκα προσποιεῖσθαι Χοσρόης Λαζικὴν
of-these indeed truly for-sake to-acquire Chosroes Lazica
ἤθελεν, ἐπὶ Λαζοῖς δὲ τὸ θαρσεῖν ὡς ἥκιστα εἶχεν.
wished in Lazi but the confidence as least be-had
28.25 ἐπειδὴ γὰρ Ῥωμαῖοι ἐκ τῆς Λαζικῆς ἀνεχώρησαν,
since for Romans from — Lazica withdrew
Λαζῶν τὸ πλῆθος τῇ Περσῶν ἀρχῇ ἐπιεικῶς ἤχθετο.
of-Lazi the multitude with-the of-Persians rule fairly was-vexed

μονότροποι γάρ, εἴπερ ἄλλοι τινές, οἱ Πέρσαι εἰσὶ καὶ
singular-in-ways for if-indeed others any the Persians are and
τὰ ἐς τὴν δίαιταν ὑπεράγαν σκληροί.
in-the-things for the living exceedingly harsh
καὶ αὐτοῖς οἵ τε νόμοι δυσπρόσοδοί εἰσι πρὸς πάντων 28.26
and for-them the both laws hard-to-approach are by all
ἀνθρώπων καὶ τὰ ἐπιτάγματα οὐδαμῇ ἀνεκτά. πρὸς
men and the commands in-no-way bearable toward
μέντοι Λαζοὺς καὶ διαφερόντως τὸ διαλλάσσον τῆς τε
however Lazi and especially the difference of-the both
γνώμης ἀεὶ καὶ τῆς διαίτης παρὰ πολὺ διαφαίνεται, ἐπεὶ
mind always and of-the living by much appears since
Λαζοὶ μὲν Χριστιανοί εἰσι πάντων μάλιστα, Πέρσαις δὲ
Lazi indeed Christians are of-all most for-Persians and
ἀπ᾽ ἐναντίας αὐτῶν τὰ ἐς τὸ θεῖον ἅπαντα ἔχει.
from opposite of-them the-things toward the divine all is
χωρὶς δὲ τούτων ἅλες μὲν τῆς Λαζικῆς οὐδαμῇ γίνονται, 28.27
apart and from-these salt indeed — in-Lazica in-no-way are-produced
οὐ μὴν οὔτε σῖτος οὔτε οἶνος οὔτε τι ἄλλο ἀγαθὸν
not indeed neither grain nor wine nor any other good
φύεται.
grows
ἐκ δὲ Ῥωμαίων τῶν παραλίων ἅπαντα ταῖς ναυσὶν 28.28
from and Romans the coastal all-things in-the ships
ἐπεισέρχεται σφίσι, καὶ ταῦτα οὐ χρυσίον τοῖς συμβάλλουσι
comes-in to-them and these not gold to-the traders
προϊεμένοις, ἀλλὰ δέρρεις τε καὶ ἀνδράποδα καὶ εἴ
paying but skins both and slaves and if
τι ἄλλο ἐνταῦθα κατὰ πολὺ περιεῖναι ξυμβαίνει·
anything other there in much to-abound it-befalls

28.29 τούτου τε, ὡς τὸ εἰκός, ἀποκεκλεισμένοι τὸ λοιπὸν
from-this and as the likely shut-off the further
ἧσχαλλον. ὧν δὴ ὁ Χοσρόης αἰσθόμενος
they-were-distressed which-things indeed — Chosroes perceiving
προτερῆσαι ξὺν τῷ ἀσφαλεῖ, πρίν τι ἐς αὐτὸν
to-anticipate with the safety before anything against him
νεωτερίσειαν, ἐν σπουδῇ εἶχε.
they-should-revolt in earnest he-held

28.30 καί οἱ βουλευομένῳ ξυμφορώτατον ἔδοξεν εἶναι Γουβάζην
and to-him planning most-advantageous it-seemed to-be Gubazes
τὸν Λαζῶν βασιλέα ἐκποδὼν ὅτι τάχιστα ποιησαμένῳ
the of-Lazi king out-of-the-way as quickest having-put
Λαζοὺς ἐνθένδε πανδημεὶ ἀναστήσειν, οὕτω τε Πέρσας
Lazi from-there in-a-body to-remove thus and Persians
καὶ ἄλλα ἄττα ἔθνη ξυνοικιεῖν ἐν ταύτῃ τῇ χώρᾳ.
and other some nations to-settle in this the land

28.31 Ταῦτα ὁ Χοσρόης βεβουλευμένος Ἰσδιγούσναν ὡς ἐπὶ
these-things — Chosroes having-planned Isdigusnas as on
πρεσβείᾳ δῆθεν τῷ λόγῳ ἐς Βυζάντιον στέλλει, καί οἱ
embassy forsooth in-the word to Byzantium sends and with-him
Περσῶν ἀριστίνδην ἀπολεξάμενος πεντακοσίους ξυνέπεμψεν,
of-Persians by-merit having-picked-out five-hundred sent-with
ἐπιστείλας σφίσι γενέσθαι μὲν ἐν πόλει Δάρας, ἐν
having-enjoined them to-be indeed in city Daras in
οἰκίαις δὲ καταλῦσαι πολλαῖς, ταύτας τε νύκτωρ ἁπάσας
houses and to-lodge many these and by-night all
ἐμπρῆσαι, καὶ Ῥωμαίων ἀμφὶ τὸ πῦρ τοῦτο ἠσχολημένων,
to-burn and Romans about the fire this being-occupied
ὡς τὸ εἰκός, ἁπάντων ἀνοιγνύναι μὲν τὰς πύλας εὐθύς,
as the likely all to-open indeed the gates at-once
τῇ δὲ πόλει τὸ ἄλλο Περσῶν στράτευμα δέξασθαι.
into-the and city the other of-Persians army to-receive

προείρητο γὰρ τῷ Νισίβιδος πόλεως ἄρχοντι 28.32
it-had-been-told-beforehand for to-the of-Nisibis city commander
στρατιωτῶν πλῆθος ἄγχιστά πη ἐγκρυφιάζοντι ἐν
of-soldiers multitude nearest somewhere lurking in
παρασκευῇ ἔχειν. οὕτω γὰρ αὐτοὺς ᾤετο Χοσρόης
readiness to-have thus for them he-thought Chosroes
οὐδενὶ πόνῳ Ῥωμαίους τε ἅπαντας διαχρήσεσθαι καὶ
with-no toil Romans both all to-make-away-with and
τὴν πόλιν Δάρας ἐν βεβαίῳ καταλαβόντας σχήσειν.
the city Daras in sure having-seized to-hold
ἀλλά τις εὖ εἰδὼς τὰ πρασσόμενα, Ῥωμαῖος μὲν 28.33
but some well knowing the-things being-done Roman indeed
ἀνήρ, αὐτόμολος δὲ ὀλίγῳ πρότερον ἐς Πέρσας ἥκων,
man deserter and a-little before to Persians having-come
τὸν πάντα λόγον Γεωργίῳ φράζει, ἐνταῦθα τότε διατριβὴν
the whole story to-George tells there then stay
ἔχοντι, οὗ δὴ ἐν τοῖς ἔμπροσθεν λόγοις ἐμνήσθην,
having of-whom indeed in the former accounts I-made-mention
ἅτε Περσῶν ἀναπείσαντος τοὺς ἐν τῷ Σισαυράνων
as of-Persians having-persuaded those in the of-Sisaurana
πολιορκουμένους φρουρίῳ σφᾶς αὐτοὺς ἐνδοῦναι Ῥωμαίοις.
besieged fortress them selves to-hand-over to-Romans
Γεώργιος οὖν ἐν τοῖς Ῥωμαίων τε καὶ Περσῶν ὁρίοις 28.34
George then at the of-Romans both and of-Persians borders
ἀπαντήσας τῷ πρεσβευτῇ τούτῳ ἔφασκεν οὐ κατὰ
having-met the envoy this said not according-to
πρεσβείαν τὰ ποιούμενα εἶναι, καὶ οὔ ποτε Πέρσας
embassy the-things being-done to-be and not ever Persians
τοσούτους τὸ πλῆθος ἐν πόλει Ῥωμαίων αὐλίσασθαι.
so-many the number in city of-Romans to-lodge

28.35 χρῆν γὰρ τοὺς μὲν ἄλλους ἅπαντας ἐν χωρίῳ
it-was-needful for the indeed others all in place
Ἀμμώδιος ἀπολιπεῖν, αὐτῷ δὲ ξὺν ὀλίγοις τισὶν ἐς
Ammodios to-leave to-him and with few some into
πόλιν Δάρας ἐσιτητὰ εἶναι.
city Daras admissible to-be

28.36 ὁ μὲν οὖν Ἰσδιγούσνας ἠγανάκτει τε καὶ δυσφορουμένῳ
the indeed then Isdigusnas was-indignant both and to-one-being-annoyed
ἐῴκει, ἅτε περιυβρισμένος οὐ δέον, καίπερ ἐπὶ πρεσβείᾳ
seemed as insulted not needful although on embassy
παρὰ τὸν Ῥωμαίων βασιλέα στελλόμενος.
to the of-Romans emperor being-sent

28.37 Γεώργιος δέ οἱ οὐ προσέχων τὸν νοῦν ἠγριωμένῳ
George and to-him not applying the mind being-enraged
διεσώσατο τὴν πόλιν Ῥωμαίοις. ξὺν γὰρ ἀνδράσιν εἴκοσι
saved the city for-Romans with for men twenty
μόνοις τῇ πόλει τὸν Ἰσδιγούσναν ἐδέξατο.
only into-the city — Isdigusnas received

28.38 Ταύτης οὖν τῆς πείρας ἀποτυχὼν ὁ βάρβαρος οὗτος
of-this then the attempt having-failed the barbarian this
ὡς πρεσβεύων ἐς Βυζάντιον ἦλθε, τήν τε γυναῖκα καὶ
as being-envoy to Byzantium came the both wife and
θυγατέρας ἐπαγόμενος, δύο (τοῦτο γὰρ ἦν αὐτῷ τὸ
daughters bringing-along two this for was for-him the
